κερδῆσαί τε τοὺς κόπους αὐτοῦ καὶ τὸ μνημόσυνον, προσέδραμε τῷ πανόρμῳ λιμένι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, φέρων τε προσανέθετο τὸ διαληφθὲν αὐτὸ τῷ ἀποστολικῷ καὶ οἰκουμενικῷ θρόνῳ, δεηθεὶς λίαν ὑπὸ τὴν ἐπίσκεψιν καὶ προστασίαν αὐτοῦ καταταγῆναι καὶ ταῖς σταυροπηγιακαῖς ἐλευθερίαις τῶν ἱερῶν καταγωγίων συνταγῆναι τοῦ διαμένειν ἀπεριπλόκητον ὑπὸ τὴν σκέπην αὐτοῦ καὶ ἀντίληψιν. Τούτου χάριν ἡμεῖς, ὡς τὴν διαμονὴν καὶ συντήρησιν τῶν ἁπανταχοῦ ἁγίων ἐκκλησιῶν τοῦ Θεοῦ καὶ ἀσκητηρίων σεμνῶν ὑπέρ τι ἄλλο ποθοῦντες, καὶ χεῖρα βοηθείας ἀρειδῶς παρέχοντες, τὴν αἴτησιν αὐτοῦ καὶ παράκλησιν ἅτε ἐν λόγῳ οὖσαν καὶ πρὸς θεοφιλῆ σκοπὸν ἁρμῶσαν προσηνῶς ἀπεδεξάμεθα, τῷ κανονικῷ τε χρώμενοι προνομίῳ τοῦ οἰκουμενικοῦ τούτου θρόνου γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς, ἵνα τὸ διαληφθὲν μονύδριον ἐπ' ὀνόματι τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, τὸ καὶ Νέα Μονὴ προσκεκλημένον, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μέχρι παντὸς εἴη καὶ λέγηται καὶ διαγινώσκηται πατριαρχικὸν σταυροπηγιακὸν καὶ τῆς αὐτῆς ἀξίας καὶ δυνάμεως ἀπολαμβάνον ὁμοῦ τοῖς λοιποῖς σταυροπηγιακοῖς μοναστηρίοις, διαμένῃ ἀεὶ μετὰ πάντων τῶν προσόντων αὐτῷ κτημάτων καὶ ἀφιερωμάτων κινητῶν καὶ ἀκινήτων καὶ τῶν συνασκουμένων ἐν αὐτῷ πατέρων, τῶν νῦν καὶ εἰς τὸ μετέπειτα ἐπιγενησομένων, ἐλεύθερον, ἀσύδοτον, ἀδούλωτον, ἀκαταπάτητον, ἀνεπηρέαστον καὶ παντοίας ἀνώτερον δυναστείας καὶ ἐπηρείας καὶ ἀνενοχλήτως μηδενὶ ὑποκείμενον, εἰ μὴ μόνῃ τῇ πατριαρχικῇ περιωπῇ καὶ μεγαλειότητι, καὶ παρ' αὐτοῦ τοῦ οἰκουμενικοῦ θρόνου ἐξουσιαζόμενον καὶ ἐπισκεπόμενον καὶ ἀνακρινόμενον, μνημονευομένου ἐν αὐτῷ τοῦ πατριαρχικοῦ ὀνόματος, κλπ. πέντε ὀκάδας ἐλαίου παρέχειν κατ' ἔτος τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ.

,αχε'

Μετεγράφη ἐκ τοῦ ἐπ' ὀνόματι τοῦ *Φωτίου Κυπρίου* φερομένου ἐν τῷ πατριαρχικῷ Ἀρχειοφυλακείῳ Κώδικος σελ. 384—86.

Σημείωσις. —Τὸ ἔγγραφον τοῦτο χρονολογεῖται ἀπὸ τοῦ ,αχε' (1605) καὶ ἐὰν δὲν ὑπάρχῃ λάθος, ὁ ἐκδοὺς αὐτὸ πατριάρχης ἐστὶν ὁ ἀπὸ Μηθύμνης Ραφαὴλ ὁ Β'. ὁ κατὰ τὰ ἔτη 1603—1607 κοσμήσας τὸν οἰκουμ. θρόνον, οὗ αἱ γνωσταὶ πράξεις αὐξάνουσιν οὕτω κατὰ ταύτην τε καὶ τρεῖς ἑτέρας, ἀπαντώσας μὲν ἐν τοῖς πατριαρχικοῖς κώδιξι, μὴ ἀναγραφομένας δὲ ἐν τοῖς πατριαρχικοῖς πίναξι τοῦ κ. Μ. Γεδεών. Ὡς πρὸς τὴν μονὴν δὲ τοῦ *ἁγίου Γεωργίου* ἥτις ἀνακηρύσσεται Σταυροπηγιακή, ἐρευνητάτωσαν οἱ *ἐν Χίῳ*, ἐὰν θέσις τις μεταξὺ τῶν χωρίων Μέσα καὶ Ἔξω Διδύμας φέρῃ τὸ ὄνομα τῶν *Βασιλικῶν*, ναὸς δέ τις τοῦ ἁγίου Γεώργιου ὑπάρχῃ ἐκεῖ που, ἔστω καὶ ἐν ἐρειπείοις.

Ἀριθ. 2.

† Κύριλλος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

† Τοῦ νόμου φησὶ γενομένου ἐπὶ πράγματι ἀληθεῖ καὶ ὑφεστῶτι, ἰδοὺ ὅτι ἡ πονηρία κατ' αὐτοῦ ἐπενοήθη. Ἀλλ' ὅμως μέχρι τέλους ἡ μὲν ἀλήθεια καὶ τὸ δίκαιον ὡς οὐσιώδη καὶ φύσει μόνιμα αὖθις ἀναλάμπουσι καὶ διαμένουσι στερεά, ἡ δὲ κακία καὶ τὸ ψεῦδος τὰ ἐπισυμβαίνοντα, ὡς ἀνύπαρκτα ἀκυροῦνται καὶ ἀφανίζονται, ὅτι καὶ μικρόν τι νέφος καλύπτειν οἶδε τὸν λαμπρότερον ἥλιον· ἀλλὰ τὸ μὲν νέφος ῥᾷστα σκεδάννυται, τὸ δὲ ἡλιακὸν φῶς φαιδρότερον ἀναλάμπει καὶ τὰ ἑαυτοῦ ποιεῖται ἀνεμποδίστως. Τοιοῦτόν τι συμβέβηκε κἂν τῇ παρούσῃ ὑποθέσει. Καὶ γὰρ τοῦ οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως πρὸ τῆς ἀπὸ τῶν Λατίνων ἁλώσεως τῆς νήσου Χίου ἔχοντος αὐτὴν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ καὶ κυβερνῶντος καὶ διοικοῦντος τὰ ἐκκλησιαστικὰ αὐτῆς διὰ δικαίῳ (γράφ. Δικαίου*) αὐτοῦ, καὶ μετὰ τὴν ἅλωσιν αὐτῆς, τὴν μὲν λοιπὴν πᾶσαν ἐπαρχίαν εἰς μητρόπολιν τιμήσαντος καὶ ἀρχιερέα ἐν αὐτῇ χειροτονήσαντος, Γαβριὴλ τινὰ τὸν ἐπικεκλημένον Καλικάντζαρον, τὰ δὲ δύο ἐν αὐτῇ χωρία, τὸ Πυργίον καὶ τὴν Βολισσόν, χωρίσαντος ἀπὸ τῆς καθόλου ὁλομελείας τῆς νήσου ταύτης καὶ ἀποριζαμένου εἶναι ἐν τῇ πατριαρχικῇ περιωπῇ καὶ διοικήσει, καὶ δόντος αὐτὰ ἐξαρχικῶς ὡς πατριαρχικὰ Σταυροπήγια πρός τινα ἱερέα τῶν ἐκεῖσε ὀνόματι Ἰωάννην Σέφην, καὶ μετὰ τὴν ἀποβίωσινἐκείνου τὰ παραπλήσια ποιησάντων καὶ τῶν καθεξῆς πατριαρχῶν καὶ δωρησάντων αὐτὰ πρὸς πρόσωπον κληρικὸν τῆς Μεγάλης Ἐκκλησίας, καὶ διαφυλαχθέντος τούτου καὶ διατηρηθέντος μέχρι τῆς ἱερατείας τοῦ κὺρ Ἱππολύτου Χίου καὶ τοῦ μετ' ἐκεῖνον κὺρ Μητροφάνους Λιβύστρου, ὁ μετ' αὐτοὺς χρηματίσας μητροπολίτης Χίου κὺρ Συμεὼν πᾶσι τρόποις καὶ μυρίαις μηχαναῖς ἀπέσπασεν αὐτὰ ἀπὸ τῆς πατριαρχικῆς δεσποτείας καὶ προσεκόλλησεν ὁπωσδήποτε τῇ μητροπόλει αὐτοῦ ἀδικώτατα. Ἦν τινα προφανῆ ἀδικίαν καὶ περιῤῥόνησιν μὴ ἀνεχομένη ἡ μετριότης ἡμῶν, ὡς χρέος ἔχουσα ἀπαραίτητον ἐπανακαλεῖσθαι καὶ ζητεῖν τὰ δίκαια τῆς Ἐκκλησίας καὶ ἀποσπᾶν ἀπὸ τῶν ἀδίκως καὶ παραλόγως διακατεχόντων αὐτά, γράφει καὶ ἀποφαίνεται ἐν ἁγίῳ Πνεύματι γνώμῃ συνοδικῇ τῶν τε ἁγιωτάτων πατριαρχῶν, τοῦ Ἀντιοχείας κὺρ Κυρίλλου καὶ τοῦ Ἱεροσολύμων κὺρ Θεοφάνους καὶ τῶν καθευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγα-

* Περὶ τῆς δι' ὑπαλλήλου τὸν τίτλον τοῦ *Δικαίου* φέροντος καὶ οὐχὶ δι' Ἀρχιερέως ἐκκλησιαστικῆς διακυβερνήσεως τῆς Χίου ὑπὸ τοῦ πατριάρχου Κωνσπόλεως ἐπὶ τῶν Γενουηνσίων βλέπε Βλαστοῦ Χιακὰ Β'. 32. 101.

πητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα μενόντων ἀκύρων καὶ ἀνισχύρων πάντων τῶν προγεγονότων πατριαρχικῶν γραμμάτων ἐπὶ τῇ ὑποθέσει ταύτῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὧσι καὶ ὀνομάζωνται τὰ προρρηθέντα δύο χωρία ταῦτα ἐν τῇ νήσῳ Χίῳ, τὸ Πυργίον καὶ ἡ Βολισσός, πατριαρχικὰ Σταυροπήγια καὶ ὑπάρχωσιν ἐν τῇ ὑποταγῇ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ διοικῶνται καὶ κυβερνῶνται ὑπὸ τοῦ κατὰ καιροὺς οἰκουμενικοῦ πατριάρχου, ὁρειλόντων καὶ τῶν ἐν τοῖς δυσὶ χωρίοις αὐτῆς εὑρισκομένων ἱερωμένων καὶ λαϊκῶν μνημονεύειν τοῦ πατριαρχικοῦ ὀνόματος καὶ παρέχειν τὰ ἐκκλησιαστικὰ αὐτῶν δικαιώματα, τὰ ἀπό τε κανονικῶν τῶν ἱερέων, συνοικεσίων, πανηγύρεων, ζητίας καὶ τῶν λοιπῶν τῷ τόπῳ συνήθων πρὸς αὐτὸν ἢ πρὸς τὸν ἐπίτροπον καὶ ἔξαρχον αὐτοῦ. Καὶ εἰ χρεία αὐτοῖς χειροτονίας γένηται, προσκαλεῖσθαι ὃν ἂν ἐθέλωσι τῶν ἀρχιερέων εἰς τὸ ἐκτελεῖν αὐτήν· μὴ τολμῶντος τοῦ τε νῦν μητροπολίτου Χίου κὺρ Ἰγνατίου καὶ τῶν καθεξῆς ἐναντιωθῆναι τῇ παρούσῃ ταύτῃ πατριαρχικῇ ἡμῶν καὶ συνοδικῇ ἀποφάσει καὶ ἀποσπάσαι τὰ ἀνωτέρω δύο χωρία ἀπὸ τῆς πατριαρχικῆς διοικήσεως καὶ ἐξουσίας καὶ εἰς τὴν ἰδίαν αὐτῶν δεσποτείαν ὑποτάξαι καθ' οἱονδήτινα τρόπον, ἢ ἀρχιερατικόν τι διαπράξασθαι ἐν αὐτῇ, ἢ ἀπὸ εἰσθημάτων αὐτῶν σφετερίσασθαί τι πολὺ ἢ ὀλίγον, ὡς δῆθεν στηριζομένῳ καὶ δικαιολογουμένῳ ἐπὶ τοῖς προτέροις ἐκείνοις γράμμασιν, ἐν βάρει ἀργίας τῆς ἀρχιερωσύνης αὐτῶν καὶ παιδείας τῆς προσηκούσης. Καὶ γὰρ τὰ κακῶς προχθέντα ἢ τυπωθέντα οὔτε νόμος, οὔτε χρόνος, οὔτε συνήθεια, ἐπιβεβαιοῖ. Οὕτω ἀπερρήναμεθα συνοδικῶς. Διὸ καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμῶν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐν ἔτει ,ζλ' μηνὶ Φεβρουαρίῳ κε'.

Ἰνδικτιῶνος Ε'.

† *Κύριλλος Ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.*

† *Κύριλλος ἐλέῳ Θεοῦ πατριάρχης τῆς θεουπόλεως Ἀντιοχείας.*

† *Θεοφάνης ἐλέῳ Θεοῦ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλήμ.*

† Ὁ Καισαρείας Καππαδοκίας Γρηγόριος—† ὁ Ἡρακλείας Νεόφυτος—† ὁ Κυζίκου Παρθένιος—† ὁ Νικομηδείας Νεόφυτος—† ὁ Χαλκηδόνος Ἰωάσαφ—† ὁ Παλαιῶν Πατρῶν Θεοφάνης—† ὁ Ἀδριανουπόλεως Παρθένιος—† ὁ Ἀθηνῶν Θεοφάνης—† ὁ Θεσσαλονίκης Παΐσιος—† ὁ Ναυπάκτου καὶ Ἄρτης Γαβριὴλ—† ὁ Ἀγχιάλου Χριστοφόρος—† ὁ Μπρούσσης Ἰωάσαφ—† ὁ Ἀκκεδαιμονίας Ἰωάσαφ—† ὁ Σηλυβρίας Ἀκυρέντιος—† ὁ Διδυμοτείχου Ἄνθιμος—† ὁ Ναυπλίου καὶ Ἄργους Θεοφάνης—† ὁ Μεσημβρίας Ἀκάκιος—† ὁ Προικοννήσου Κλήμης—† ὁ Μηδείας καὶ Σωζουπόλεως Θεοδόσιος—† ὁ Βάρνης Μελέτιος—† ὁ Τζιᾶς καὶ Θερμίων Νεκτάριος—† ὁ Αἴνου Παρθένιος—† ὁ Μεθώνης Κορνήλιος—† ὁ *Χίου Ἰγνάτιος*.—† ὁ Ῥέων Δανιὴλ—† ὁ Ραιδεστοῦ Μελχισεδέκ—† ὁ πρώην Αἴνου Δανιὴλ—† ὁ Κερνίτζης Παρθένιος—† Ὠλένης Θεοφάνης—† ὁ Ἀγαθουπόλεως Μητροφάνης.

Ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθ. Α'. πατριαρχικοῦ κώδικος σελ. 106—107.

Σημείωσις.—Τοῦ Σιγιλλίου τούτου ἡ χρονολογία κε'. Φεβρ. ,ζλ' ἰνδικτιῶνος Η'. ἀντιστοιχεῖ πρὸς τὴν 25 Φεβρουαρίου τοῦ 1623 σωτηρίου ἔτους καί ἐστιν ἐκδεδομένον ὑπὸ τοῦ κλεινοῦ πατριάρχου Κυρίλλου Α'. τοῦ Λουκάρεως κατὰ τὴν πρώτην αὐτοῦ πατριαρχείαν. Νομίζω ὅτι τὸ πρῶτον νῦν ἐκδίδοται ὑπ' ἐμοῦ καὶ ὅτι μεγάλως διαφωτίζει τὴν σκοτεινὴν σύστασιν τῆς ἐν Χίῳ ἐξαρχίας Πυργίου—Βολισσοῦ, ἧς αἱ τύχαι οὐ μικρὸν ἀπατχολοῦσι τὸν θέλοντα νὰ συντάξῃ ἀκριβῆ τῆς νήσου ἐκκλ. ἱστορίαν. Ἐν πρώτοις διδασκόμεθα ἐξ αὐτοῦ ὅτι ἡ Χίος ἐτιμήθη εἰς *μητρόπολιν* εὐθὺς μετὰ τὴν ἀπὸ τῶν Γενουηνσίων ἅλωσιν αὐτῆς, ἤτοι μετὰ τὸ 1566, καὶ ὅτι πρῶτος αὐτῆς μητροπολίτης ἀνεδείχθη *Γαβριὴλ ὁ Καλικάντζαρος*, ᾧ ἐπηκολούθησεν οὐχὶ ἀμέσως ὁ *Ἱππόλυτος*, τούτῳ δὲ ὁ *Μητροφάνης Λέβεστρος* καὶ τούτῳ πάλιν ὁ *Χίος Συμεών*, ὃν γινώσκομεν ἀποθανόντα πρὸ τοῦ 1610 ἐκ τῶν περὶ *Πινιτούρας* Νεαμονητικῶν ἐγγράφων τῶν ἐν τοῖς «*Νεαμονησίοις*» ὑπὸ τοῦ σοφοῦ Γρηγορίου τοῦ Φωτεινοῦ δημοσιευθέντων, ἐν οἷς φαίνεται μητροπολίτης Χίου ὁ Ἡσαΐας. Μανθάνομεν δεύτερον ὅτι ἡ ἐξαρχία, ἀρχὴν λαβοῦσα μετὰ τὴν ἔξωσιν τῶν Γενουηνσίων, περιελάμβανε τὸ κατ' ἀρχὰς μόνον τὰ δύο χωρία *Πυργίον καὶ Βολισσὸν* ἄνευ ἄλλης περιοχῆς καὶ ἄλλων ὑποκειμένων αὐτοῖς χωρίων, ἃ προσετέθεντο βαθμηδὸν βραδύτερον ἀναλόγως τῆς τῶν ἐξάρχων ὁρέξεως καὶ τῆς τῶν μητροπολιτῶν ἀδυναμίας, ὡς δηλώσουσιν ἐφεξῆς ἕτερα σχετικὰ ἔγγραφα.

ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ

ΕΠΙΤΑΦΙΟΣ ΕΙΣ ΘΕΟΔΩΡΟΝ ΤΟΝ ΣΟΦΙΑΝΟΝ

ΤΟ ΠΡΩΤΟΝ ΝΥΝ ΕΚΔΙΔΟΜΕΝΟΣ

Μετὰ τὰς προταχθείσας δύο εἰσαγωγικὰς μελέτας ἡμῶν περὶ Γενναδίου τοῦ Σχολαρίου εὔκαιρον ἐκρίναμεν, πρὶν ἢ εἰσέλθωμεν εἰς τὸ κύριον ἡμῶν θέμα, νὰ προτάξωμεν καὶ τὸν ἀνωτέρω ἀνέκδοτον ἄχρι τοῦ νῦν λόγον τοῦ Σχολαρίου, διότι ἐν τῇ περαιτέρω ἐξετάσει οὐχ ἅπαξ θὰ στηριχθῶμεν εἰς τὰς ἐν αὐτῷ πολυτίμους εἰδήσεις. Βιογραφῶν τὸν ἀνεψιὸν αὐτοῦ Θεόδωρον, εἰς ὃν ἀκολούθως

ποίησε καὶ τὸ ἐκδεδομένον ἤδη ἐλεγεῖον,[1] ὁ Σχολάριος παρέχει συγχρόνως σύντομον σκιαγραφίαν τοῦ ἰδίου ἑαυτοῦ βίου, ἧς ἡ σπουδαιότης, ἐὰν μάλιστα ληφθῇ ὑπ' ὄψιν ἡ ἐπὶ πολλῶν σημείων τοῦ βίου αὐτοῦ ὑπάρχουσα εἰσέτι ἀσάφεια, τυγχάνει ἀδιαφιλονείκητος. Μέρη τινὰ τοῦ ὑφ' ἡμῶν δημοσιευομένου ἐπιταφίου τούτου διὰ τοὺς μὴ εἰδικῶς τὰ κατὰ τὴν ἐποχὴν ταύτην τῆς βυζαντινῆς ἱστορίας μελετήσαντας θὰ ἔχρηζον ἴσως ἐπεξηγηματικῶν σχολίων· ἀλλὰ τὴν ἔλλειψιν ταύτην θὰ ἀναπληρώσῃ ἡ περαιτέρω διήγησις. Τὸν λόγον τοῦτον τοῦ Σχολαρίου ἀντεγράψαμεν ἐκ τοῦ ὑπ' ἀρ. 35 χειρογράφου τῆς βιβλιοθήκης τοῦ ἐνταῦθα Μετοχίου τοῦ Παναγίου Τάφου, ἐξ οὗ χειρογράφου ἄλλοτε ἐξεδώκαμεν ἐν τῇ «Ἐκκλ. Ἀληθείᾳ» τὸν γνήσιον λόγον τοῦ Σχολαρίου περὶ τῆς ὁδοῦ τῆς σωτηρίας.[2]

Ἐπιτάφιος τῷ μακαρίῳ Θεοδώρῳ τῷ Σοφιανῷ, ἐν τῇ ἱερᾷ μονῇ τοῦ Βατοπεδίου ταφέντι, ὃν εἶπεν ἐξ ὑπογυίου ὁ θεῖος αὐτοῦ Γεννάδιος μοναχὸς ἐπὶ τῷ τάφῳ, Σεπτεμβρίου κη' ,͵ϡϟϛ' ἔτους. (=28 Σεπτεμ. 1436.)

Ἀλλὰ ζῶντος μὲν ἔτι τὴν ἐνταῦθα ζωήν, ὦ κάλλιστέ μοι καὶ βέλτιστε, οὐκ ἂν οἷόν τ' ἦν πυνθάνεσθαί σου τοιαῦτα· νῦν δ', οὐ γὰρ προσκρούσειν οἰόμεθα κρείττονι τῶν ἀθρωπίνων γεγονότι παθῶν, ἀνάσχου δὴ τὰ πρῶτα πυνθανομένων. Σὺ μὲν εἰ παρέπεμπες ἡμᾶς ἐπὶ τὸν τάφον προτέρους, ὃ δὴ καὶ εἰκὸς ἦν, οὐκ ἂν ὤκνησας καὶ ᾠδὴν ἐπὶ τῷ τάφῳ προσθεῖναι, οἷα δὴ καὶ εἰώθεις ᾄδειν ὡς μάλα τερπνὰ καὶ τῆς Ἰσοκράτους καὶ τῆς Δημοσθένους διατριβῆς, ὅσον εἰς λόγων χάριν ἐστίν, οὐκ ὀλίγον, τῆς δὲ τῶν φιλοσόφων διανοίας πάμπολύ τι μετέχοντα[3]· ἡμῖν δὲ τὰ σὰ σιωπῶσιν οὐ νεμεσήσεις νῦν, ἀντεστραμμένων μοι τῶν ἐλπίδων; οὐ καταγνώσει δεινὴν ὑπεροψίαν τῆς ἀρετῆς, οὐκ ἀφιλίαν ἢ τύφον ἢ ἀκαιρίαν ἢ τι τῶν οὐ καλῶν; Ἡμεῖς μὲν οἰόμεθα, τό γε ἡμέτερον, ὅτι καὶ κοπτομένων καὶ γοερῶς ἀνακαλουμένων τὴν σὴν ἀρετὴν καὶ φιλίαν, οὐδὲν ἡγήσει πράττεσθαι ξένον. Ἀλλὰ προσέχομέν σοι λαλοῦντι καὶ ἀποκρινομένῳ μάλιστα πνευματικὸν καὶ οὐράνιον. Καὶ δὴ συνήκαμεν· οὐ τὰ κομψὰ ἐκεῖνα καὶ θεατρικά, ἀλλ' ἀληθῆ καὶ σεμνὰ καὶ τῷ σχήματι πρέποντα βούλει λέγειν ἡμᾶς, καὶ ταῦτα λεγόντων τὸ πᾶσι πρέπον περισωθήσεσθαι. Οὐκοῦν οὕτω καὶ λέγομεν.

Ἑτέρου μὲν εὐτυχῶς, ὦ φίλτατέ μοι παῖ, τὴν ἀρχὴν ὑπὸ γονεῦσιν ἐπιεικῶς ἀγαθοῖς καὶ πλούτου τε καὶ τῶν ἄλλων μετρίως ἐχουσιν, ἐπαιδαγωγοῦ δ' ὑφ' ἡμῖν ἕως καὶ μαθημάτων ἀκούειν ἠλύνασο. καὶ τοῦ ἤθους ἡ κοσμιότης ἐπήνθει σοι μάλα γενναίως, καὶ ἐδόκεις οὔτε τοὺς γονέας οὔτε τὰς ἐλπίδας ἡμῶν αἰσχυνῶν. Ἀρξάμενος δὲ καὶ μαθημάτων προυλάμβανες τάχα τῆς φύσεως, καὶ τοῦ ληφθέντος ἀεί σοι πλέον ἦν τὸ ποριζόμενον οἴκοθεν, καὶ τὴν μάθησιν ἐνίκα ἡ εὕρεσις. Ἐν γραμματικοῖς παιδεύμασιν ἦσθα τοιοῦτος, ἐν ῥητορικοῖς ἀκροάμασι πολὺ βελτίων ὤρθης σαυτοῦ, χρόνῳ δὲ καὶ τῶν φιλοσοφίας λόγων ἁψάμενος, ὥστε καὶ πάντας οὐκ εἰς μακρὰν εἰσδέξασθαι μεθ' ἡδονῆς τῇ ψυχῇ καὶ μετὰ σπουδῆς προκύπτοντι προσηκούσης, ἐνταῦθα δὴ καὶ τὴν ἰσχὺν τῆς φύσεως ἔδειξας καὶ τὴν ἄνωθεν χάριν· οὐ γὰρ ἄνευ θείας ἐδόκεις μοίρας τοσοῦτο τῷ περυσκότι πρὸς τὴν ἄσκησιν τῶν τηλικούτων εἰσενεγκεῖν. Καὶ τὰ μὲν ἄλλα εἶχες ἄν τινι καὶ παραχωρῆσαι τῶν ἴσων, τῶν τότε σοι τὰ τοιαῦτα συνασκουμένων· φιλοσοφίας δὲ καὶ διαλεκτικῆς πέρι καὶ θεωρῆσαι καὶ πρᾶξαι τό γε προσῆκον τῇ τέχνῃ, δεῖξαι μὲν δηλονότι τάληθὲς ὡς δείκνυσθαι δεῖ, ἐλέγξαι δὲ τὴν φαινομένην σοφίαν, ἡλίκος ἦσθα, καὶ Ἰταλῶν οἱ πρὸς τὴν φωνήν σοι τότε κεχρημένοι τὴν ἡμετέραν[1], ἐκ τῶν παρὰ σφίσι διατριβῶν ἠσκημένοι ταύτῃ καλῶς, πολλάκις σοι μεμαρτυρήκασιν ἐν τοῖς τότε βασιλείοις καὶ πολλαχοῦ, ὡς ἄρα οὐ καθ' ἡλικίαν, οὐδὲ κατὰ τὰς ἐν τῇ πόλει διατριβὰς τὴν περὶ ταῦτα δύναμιν ἔσχες, ἀλλ' ὥσπερ ἐκ τῶν ἐν Γάλλοις[2] παιδευτηρίων ἐν πλείστῳ χρόνῳ μεμαθηκὼς ἢ θεόθεν ἐμπεπνευσμένος. Τῆς δέ γε ἑτέρας γλώττης, τῆς Ἰταλῶν, καίτοι παρέργως περροντικώς, ἴσον ἡμῖν ἔσχες σχεδὸν τοῖς προύργου καὶ πλείοσι χρόνοις ἐπιμεληθεῖσιν. Ἐῶ σου τὴν ἐν ταῖς ἐπιστολαῖς χάριν καὶ τοῖς ἄλλοις συγγράμμασιν, ἐν οἷς οὐ πρὸς πιθανότητα κομψότερος μᾶλλον ἢ πρὸς ἀλήθειαν ἀκριβέστερος ἐσπούδαζες εἶναι. Ἀλλὰ τούτοις μὲν τὴν πατρίδα μᾶλλον ἐκόσμεις καὶ τοὺς παιδευτὰς ἡμᾶς. Καὶ ἦσαν οἱ συμμετέχοντές σοι τῶν ἐπὶ τούτοις ἐπαίνων ὁ μέν τις εὐθὺς μετὰ σέ, ὁ δὲ μετ' ἐκεῖνον καὶ ἄλλος ἄλλως ἀπολειπόμενος· ἃ δὲ σοὶ κόσμος ἦν καὶ ὧν οὐδεὶς ἐκοινώνει σοι τῶν ἡλίκων καὶ ἃ καθάπερ τις πρῶτος κλῆρος ἄνωθεν εἰς τὴν σὴν καθῆκε ψυχὴν τὸν ἐμὸν πατέρα καὶ σὸν πάππον, τὴν μάμμην, τὸν πρὸς μητρὸς πάππον, ἐκείνους φημὶ καὶ μέχρι πορρωτάτω τῶν χρόνων, ὧν ἁπάντων ἡ καλή σοι μήτηρ ὑστάτη, ἡ σωφροσύνη, τὸ μέτριον ἦν, ἡ σὺν καιρῷ σιωπή, τὸ σὺν καιρῷ λέγειν, τὸ πλείω ῥονεῖν ἢ λέγειν, τὸ πᾶσιν ἀνάλωτον εἶναι λέγοντα[3]

1. Συνεξεδόθη ὑπὸ τοῦ Μηνᾶ Μηνωΐδου μετὰ τοῦ συγγράμματος τοῦ Σχολαρίου κατὰ τῶν Πλήθωνος ἀποριῶν ἐπ' Ἀριστοτέλει Paris, 1858 σελ. 189.

2 Ἴδ. «Ἐκκλ. Ἀλήθειαν» Ἔτ. ΙΣΤ' σελ. 194 καὶ 203.

3. Τὸ χειρόγραφον *μετέχουσα*.

1· Τὸ χειρόγρ. *ἡμέραν*.

2. Τὸ χειρόγρ. *ἐν γάλοις*.

3. Τὸ χειρόγρ. *λέγον*, τὸ καὶ θαυμαστὸν εἶναι κτλ.

καὶ θαυμαστὸν εἶναι πρὸς τούτοις. Ἐπὶ πᾶσι θεοσεβὴς ἦσθα, τῷ θείῳ φόβῳ καὶ νεφροὺς καὶ φρένας καὶ γλῶτταν ὠχυρωμένος· καὶ πᾶν μέλος καὶ πᾶσαν αἴσθησιν· φίλος σαρκὸς, φιλόκαλος, φιλαλήθης· οὐδείς εἶδέ σε οὐδενὶ τῶν ἀναιδῶν ἐκείνων ἀναμιγνυόμενον νέων· οὐδεὶς εἶδέ σε πράττοντά τι τῶν οὐ πρεπόντων σορῷ καὶ χρόνῳ προσβεβηκότι, οὔτε ἤκουσε λέγοντος. Διὰ ταῦτα καὶ βασιλεῦσι γνώριμος ἦσθα καὶ τὴν βασίλειον ἐκείνην πᾶσαν οἰκίαν, ἕως ἦν, ἐπηγάγου τῷ κάλλει τῆς ἀρετῆς, καὶ τοῖς εἰδόσιν ἑορτὴν ἐποίεις καὶ θαῦμα πᾶσιν ὁρώμενος, ὡς ποτέ τι νεότητος εὐγενοῦς παράδειγμα ξένον καὶ νῦν πρῶτον εἰς τὸν ἀνθρώπινον βίον εἰσεληλυθός, ᾧ καὶ ἀειλληθῆναι τοῖς χρόνῳ συμβεβηκόσιν εὐκτὸν ἂν ἦν. Ἐδικάζομέν ποτε, καὶ σὺ συνειργάζου τῷ μήτε πρόσωπον λαβεῖν μήτε ἄλλο τι πρὸ τῆς τῶν νόμων ἀκοινῆς ποιήσασθαι, καὶ ἀντὶ κέρδους παντὸς, ἅσοι προυτείνετο πολλαχόθεν, τὴν ἐπὶ τὸ δικάζειν ὀρθῶς δόξαν ἡμῖν οἷς εἶχες συγκαταπράττων. Διελεγόμεθά ποτε πρὸς τοὺς ἐναντίον τῆς πίστεως, καὶ σὺ πρὸς τὸν ὑπὲρ τῆς ἀληθείας ἥλειρες[1] θάνατον, τὸν αὐχένα τῷ ξίφει καὶ πρὸ ἡμῶν ὑποβάλλειν ἕτοιμος ὤν. Ὑπὸ μικροψυχίας τι προηγόμεθα, καὶ σὺ πρὸς τὸ δέον εὐλαβῶς ἐπανῆγες. Δυσπραγεῖν ἐδοκοῦμεν ἐν ὅτῳ, καὶ τίς ἦν ὁ παρακαλῶν, εἰ μὴ σύ; Παρίημι τὸ ἐμόν· περιεστήκεσαν τὰ φοβερὰ τὴν πατρίδα, καὶ τίς σου προθυμότερος ὤρθη ἢ ἀναλῶσαι ἢ φυλάξαι ἢ προμαχέσασθαι ἢ θρέψαι πολεμοῦντας ἐκ τῶν ὑπαρχόντων; Ὁ πόλεμος ἐνεστήκει, καὶ μόνος, ἢ κομιδῇ σὺν ὀλίγοις, ὑπολειφθεὶς οὗ ποτε ἐτέταξο, πολλοῖς τραύμασιν, ἃ ταῖς χερσὶν ἐδέξω καὶ τῷ προσώπῳ, αὐταῖς κλίμαξι τοὺς δι' αὐτῶν ἐπὶ τὸ τεῖχος ἀνελθεῖν πειρωμένους συγκατεσπάσατε, ἕως ὑμεῖς μὲν τοῖς ἀπὸ θαλάττης οὐδὲν παρήκατε πράττειν, ὧν ἐπεθύμουν, οἱ δ' ἀπὸ τῆς γῆς δι' ἐρήμου κατελθόντες τοῦ τείχους πάντα ἐσκύλευον, φυγῇ προδεδωκότων τῶν φυλάξειν ὑποσχομένων. Τότε δὴ λοιπὸν καὶ σὺ πρὸς ἡμᾶς τρέχων, οὐ συνθήκαις τισὶ προτέραις, ἀλλ' ὁδηγίαις μᾶλλον τοῦ κρείττονος, ὃν μὲν ἤλπιζες εὑρήσειν οὐδὲ ζητεῖν ἠδύνασο, παντὸς τοῦ χωρίου τοῖς πολεμίοις κατειλημμένου, ἀπροσδόκητος δὲ οὐ προσδοκηθέντι τὴν αὐτὴν ἐζήτεις γωνίαν, ἅμα καὶ τὸν οἰκέτην καὶ ὑπασπιστὴν ἐπαγόμενος. Κἀγὼ μὲν ᾠμην πολέμιον εἶναι τὸν ψηλαφῶντα, ἦσθα δὲ ὁ ποθούμενος. Καὶ αὐτίκα μὲν τὴν τῶν ἐχθρῶν συνδιεφεύγομεν ῥώμην, τῇ δ' ἐπιούσῃ συνηλισκόμεθα. Τότε τοίνυν οὐ μόνος ἐγὼ τῆς σῆς ἀπολέλυκα καρτερίας, τοῦ μὴ καταπεσεῖν τῷ βάρει τῆς συμφορᾶς, καὶ λόγοις ψυχαγωγούμενος καὶ ἔργοις παρακαλούμενος, ἀλλὰ καὶ τοῖς συναιχμαλώτοις, πολλοὶ δ' ἦσαν ὑπὸ τὸν αὐτὸν ἡμῖν συντεταγμένοι δεσπότην, φάρμακον ἐγίνου μέγα τοῦ πάθους. Καὶ βαρβάροις δὲ αὐτὸς ἀπρόσιτος ἦσθα, αἰδεσθέντων σου τὴν στιβαρότητα καὶ πάντων ἀποσχομένων, ἃ τοῖς ἄλλοις ἐχρῶντο, ἀποστρεβλοῦντες καὶ κατακλείοντες[1] ἢ δουλεύειν ὑπὲρ δύναμιν ἀναγκάζοντες καὶ ἢ λυποῦντες εὐκλεῶς ἢ ἐπονειδίστως προσπαίζοντες. Καὶ ἠλευθέρους μὲν αὐτίκα τὴν μητέρα μετὰ θείου δοῦλος ὢν ἔτι, συναπήλλαττες δ' ἂν ἐμὲ τῶν μετὰ ταῦτα κακῶν, εἴ σοι πειθόμενον εἶχες. Ἀλλ' ἦν, ὡς ἔοικεν, ἄφυκτα, τὴν ἐν παντὶ τῷ βίῳ πονηρίαν ἡμῶν τῆς οὐρανίου δίκης μετερχομένης. Ἐπεὶ δὲ σὲ μὲν ὁ Θεὸς ἠλευθέρου, δυοῖν ἢ τριῶν φίλων ὑπηρετουμένων τῷ δόγματι, ἡμᾶς δ' ἐν ἐλευθερίας προσχήματι λαβύρινθοι συμφορᾶς εἶχον αὖθις, οὐκ ἠνέσχου διϊστασθαι πάσχοντος τοῦ πατρός, οὐδ' ἠγάπησας τὰ σαυτοῦ πράττειν σὺν ἀσφαλείᾳ, ἀλλὰ πάνθ' ἡμῖν συνδιαφέρειν ἐλόμενος, τὰ μὲν ἰδίᾳ πραττών τι καλὸν ἡμῖν ἐκινδύνευες, τὰ δὲ συνεκινδύνευες ὁσημέραι, ἄχρι δὴ καὶ τῆς εἰς τὸν ἱερὸν Ἄθω παραδόξου μετακομιδῆς ἡμῶν τουτονί. Καὶ τοὺς μὲν ἄλλους πολίτας, τοὺς μὲν ὑπ' ἀνάγκης, τοὺς δὲ πρόφασιν ποιουμένους τὴν κοινὴν τύχην καὶ μετὰ τὴν ἰδίαν ἐλευθερίαν, πᾶσαι μὲν ἤπειροι, πᾶσαι δὲ νῆσοι καθάπερ ἄχθος τι μέγα ἐπαιτοῦντας[2] ἄχρι καὶ νῦν δέχονται· σὺ δὲ οὐδενὶ φίλῳ ἐπαχθὴς ὤρθης, οὐδένα ἠσχύνθης τῶν συγγενῶν, οὐδενὶ ξένων ἠνώχλησας, ἀλλὰ τὸν ἐκ τῆς ὀλεθρίου χρόνον ἡμέρας ἄχρι καὶ νῦν καὶ οἰκείοις καὶ ἀλλοτρίοις ἐλευθερίως καὶ σεμνῶς προσηνέχθης, τοῦ Θεοῦ σοι τὰς χρείας καὶ οὐδενὸς ἀνθρώπων παρεχομένου. Συντέμνω, μὴ δυνάμενος διὰ πάντων, καὶ μεγίστων ὄντων, ὁδεύειν. Ἐβούλου μὲν ἀπολείπειν ἡμᾶς ἐνταῦθα, Θεῷ προσέχειν προηρημένους καὶ ὀψὲ τῆς ποθουμένης ἡσυχίας εἰληφότας καιρὸν καὶ τὸν τῷ καιρῷ προσήκοντα τόπον· καὶ ἡμεῖς ἐβουλόμεθά σε πέμπειν ἐξηρτυμένον ἐγκαίρως. Μητρὶ δὲ πειθόμενος καὶ ἡμῖν καὶ φίλοις ἅπασιν ἔμενες ἀλύπως τε καὶ σὺν ἡδονῇ τὸν καιρόν, καθάπερ ἀρνίον ἄκακον, ὡς ἡ Γραφή φησι τὸν ἡμέτερον Ἰησοῦν· καὶ σὺ γάρ, τῷ τοῦ Ἰησοῦ καλῶς ἀγόμενος πνεύματι, ἐπείθου τοῖς κάλλιστά σε συμβουλεύειν δοκοῦσι, τὸ μὲν θεῖον οὐκ εἰδόσι βούλημα, τὸ δὲ φαινόμενον συμφέρον εἰσηγουμένοις, ᾧ δὴ καὶ τὸ θεῖον συντρέχειν θέλημα δήπου καὶ σὲ κἀκ ἡμᾶς πάντας ἐλάνθανε. Τίς ἐξεῖποι σου τὴν ἐν τῇ νοτῳ φιλοσοφίαν; τίς τὴν περὶ τῆς μητρὸς πρόνοιαν; τίς ὁπόσα περὶ τῆς ἀϊδίου ζωῆς, πρὸς ἣν ἔγνως μεθιστάμενος ἐκ Θεοῦ, καὶ ψυχῶν ἐξόδου καὶ λόγοις ἐφιλοσόφησας, τὰ μὲν πυνθανόμενος τῶν ἑκάστοτέ σοι παρόντων, τὰ δὲ αὐτὸς ἀνευρίσκων σὺν ἀκριβείᾳ, καὶ ἔργοις εὐτρέπισαι, πόρρωθεν καὶ ψυχὴν καὶ σῶμα εὐτρεπισμένος; Τίς τὰς ἀποκαλύψεις τὰς ἐκ Θεοῦ, αἷς σε πρὸς τὴν εὐδαίμονα ζωὴν ἐκ τῆς γηΐνης κακοπαθείας ἐκάλουν; Μακρῶν λόγων καὶ χρόνων ὑποθέσεις ἂν γένοιτο τὰ σὰ

1. Τὸ χειρόγραφον εἶλησε.

1. Τὸ χειρόγρ. καταακλεόντες.
2. Τὸ χειρόγρ. ἀπαιτοῦντας.

διηγήματα, φίλτατέ μοι Θεόδωρε. Ἀμαυρώσου τὸ κάλλος, ἐν ἰσχνότητι λόγων τοσαύτῃ βουλόμενός σε σκιαγραφεῖν. Ἀδικῶ τὸν μέγαν τῆς ἀρετῆς ἀνδριάντα, ἄρθροις μικροῖς καὶ σχεδίοις συναρμολογῶν ἐξ ὑπογυίου. Θεάτρου μεγάλου καί, εἰ οἷόν τ' εἰπεῖν, παγκοσμίου, καὶ λόγων φιλοτίμως ἐξειργασμένων, οἷους πολλοὶς πολλάκις ἐπλέξαμεν, ἢ καὶ πολὺ βελτιόνων τῶν ἡμετέρων, τοῖς σοι ἔδει χαρίσασιν ἐκ Θεοῦ. Ἀλλὰ παρὰ πατρὸς γέροντος ἦδη καὶ πᾶσαν ἐν λόγοις ἡρνημένου φιλοτιμίαν καὶ σιγᾶν, ὡς οἶσθα, τὸν ὑπόλοιπον βίον ἐνστησαμένου, ἄλλως τε καὶ σοῦ τοιοῦτον ἡμῖν ἐκ προοιμίων ἐνδεδωκότος τὸ μέλος, ἀρκεῖ καὶ τοσαῦτα ἡμέλημένα σοι τῶν καλῶν ἐξ ἐπιδρομῆς καὶ οὕτω πενιχρῶς καὶ ἀφιλοτίμως. Εἶτα μέμψεταί τις ἡμῖν τεθρηνηκόσι τὸν τηλικοῦτον εἰς ἀρετήν, ἢ ἐρεῖ μέγα τι τῷ κειμένῳ χαρίσασθαι; Εἶ ποτε ἡμῖν ἐτύρθη τὸ στῆθος, εὐλόγως ἂν ἐπ' αὐτῷ καὶ πάνυ τυρθείη· εἴποτε παρειὰς ἐξάναμεν, εἴπερ ποτὲ νῦν ἄξιον τοῦτο παθεῖν καὶ τὸν ἀέρα βοῆς καὶ θρήνων πληρῶσαι. Τίς ἦν ἡμῖν καιρὸς πλὴν τοῦ παρόντος κεφαλῆ κόνιν πάσασθαι, μηδενὸς ἀνασχέσθαι παρηγοροῦντος; Τίς ποτε τηλικαύτη ζημία τὸν ἡμέτερον συνέχεε βίον; Εἰ δὲ τὸν τῆς πατρίδος ὅλεθρον λέγοις, ἀλλ' ἐκείνης τῆς τραγῳδίας τοῦτο καρπὸς καὶ πάντων ἡμᾶς ἐκείνων ἀνέμνησε. Κἀκείνων μὲν ἐπειρώμεθα τότε, τοῦ καλλίστου καὶ σορωτάτου τοῦδε συνόντος τε καὶ συνδιαφέροντος· νῦν δὲ τὴν μνήμην ἀνακινήσας ἁπάντων ᾤχετο. Καὶ τότε μὲν ἔμπνοι καὶ ζῶντες καὶ τὰς αἰσθήσεις ἔχοντες καὶ τὸ οἰκεῖον ἅπαν καλὸν ἐκ Θεοῦ τὰς κοινὰς ἐθρηνοῦμεν τύχας ἀμφότεροι· νῦν δὲ καὶ ψυχὴν καὶ ὀρθαλμὸν καὶ χεῖρας ἀφῃρημένοι, ταῦτα γὰρ ἦν ἐκεῖνος ἡμῖν, καὶ υἱοῦ καὶ φίλου καὶ ἀδελφοῦ καὶ καλοῦ παντὸς καθέσταμεν ἔρημοι. Τίς δή ποτε καὶ τῇ μητρὶ θρήνων καὶ ὀδυρμῶν ὑπόθεσις μείζων γέγονεν ἢ γενήσεται, μετὰ τοὺς οἰκείους πάντας καὶ τοῦτον ἀποβαλομένῃ, ὃς ἀντὶ τῶν πάντων ἦν αὐτῇ καὶ παρόντων, οὕτω διαφέρων ταῖς ἀρεταῖς καὶ οὕτως ἐκτόπως στέργων τε καὶ στεργόμενος; Καὶ τὸ μεῖζον, ἡμῖν μέν καὶ διελέχθη τὰ τελευταῖα κἀπὶ τῶν ἡμετέρων χειρῶν καὶ γονάτων ἔχων τὴν κεφαλὴν τοὺς ἐξιτηρίους [λόγους ἦν] ἐφθεγμένος· ἡ δὲ μήτηρ οὐκ εἶδε τὸ τῆς ἀρετῆς ἄγαλμα πρὸς τὴν ζωὴν ἐκείνην ἐξοπλιζόμενον, οὐ συνῆκε πρὸς τοὺς οὐρανοὺς εὐτρεπιζόμενον τηλικαύτῃ συνέσει· ἢ γὰρ ὑφείλετο τῆς λύπης, ἰδοῦσα τὸν Χριστοῦ στρατιώτην οὕτω χαριέντως ἐπὶ τὴν ἀμείνω λῆξιν μεταγραφόμενον. Ἐμοὶ δέ ποτε καὶ δακρύων ὑποπλησθέντι, πεπονθὼς γὰρ οὐκ ἀνεκτῶς τὴν καρδίαν οὐκ εἶχον κρύπτειν τὸ πάθος, καὶ γοερῶς ἀνομιῶξαντι, ἐπετίμησεν εὐλαβῶς «Ἤπου, πάτερ, ἐπιλέλησαι, λέγων, φιλόσοφος ὤν; ἀλγεῖν ἀνέχῃ, τοῦ Θεοῦ κελεύοντος οὕτως;» Ἐγὼ δὲ ὢν τοῦ τὸ σῶμα ἡμᾶς ἀπολείπειν, τὸ Δόξα Πατρὶ μέχρι τοῦ Ἀμὴν δὶς εἰπών, οὐδὲν ἐκ τούτου λοιπὸν ἐρθέγξατο. Ἀνῆκεν αὐτὰ τοιαῦτα καὶ ὁπωσοῦν τὴν μητέρα [ἀκοῦσαι] παρῦσαν καὶ νῦν μεμνημένην. Ἀλλὰ τὴν μὲν τῶν ἡμετέρων θρήνων αἰτίαν οὐδεὶς ἂν εἴποι μὴ μεγίστην εἶναι· ἃ δὲ χρὴ ποιεῖν ἐπὶ τούτοις, τούτων καὶ ἡμᾶς καὶ τὴν ἀδελφὴν ἐπὶ τῷ παιδὶ συναισθάνεσθαι δίκαιον. Κοινῇ μὲν ἐμέ τε κἀκείνην τὸ θεῖον βούλημα ῥῖπτειν δεῖ καὶ μὴ δοκεῖν ἀντιλέγειν· χάριτας ὁμολογεῖν τῷ Θεῷ τῆς ἀρετῆς τοῦ παιδός· τὴν εὐσεβῆ καὶ ὁσίαν μετάστασιν μέγα τι δῶρον ἡγεῖσθαι Θεοῦ κἀκείνῳ καὶ τοῖς φιλοῦσιν· ἐλπίζειν οὐκ εἰς μακρὸν συνέσεσθαι· ὑπομένειν τὸ μὴ δυνάμενον ἄλλως γίνεσθαι· τὸν Θεὸν ἀντ' ἐκείνου καὶ πάντων ἔχειν συγγενῶν τῶν μεθεστηκότων, κἀκεῖθεν τὰς ἐλπίδας πάσας ἐξάπτειν. Χωρὶς δέ, τὴν μὲν μητέρα, τὸ πάθος λογιζομένην τοῦ Ἰησοῦ καὶ τὴν ὑπέραγνον ἐκείνου μητέρα, μηδὲν οἴεσθαι πεπονθέναι καὶ λύπης ἄξιον. Καὶ οὗ φημι τὰ τοῦ μυστηρίου βαθύτερα, ἀλλ' ὅπως ὁ μὲν Ἰησοῦς σταυρῷ προσηλώθη Θεὸς ὤν, ἐνδεδυμένος ὑπὲρ ἀνθρώπων τὸν ἄνθρωπον, καὶ ἁμαρτίας ὢν λῆψταις καὶ φονεῦσι συναπεκτείνετο· καὶ ἡ χωρὶς ὠδίνων καὶ σπέρματος τέξασα τὸν τοσοῦτον ἦλγει μέν, ἔφερε δὲ καὶ οὐκ ἀπεπήγνυτο. Ὁ δὲ σὸς υἱός, ἀδελφή, πρὸς γὰρ καὶ μὴ παροῦσαν στρέφω τὸν λόγον, ἄνθρωπος ὢν καὶ κατ' ἄνθρωπον γεννηθεὶς καὶ δοῦλος τοῦ σταυρωθέντος, τηλικαύτης εὐνοίας ἠξίωται καὶ τιμῆς καὶ ζῶν καὶ τελευτῶν καὶ θανών, καὶ τοσαῦτα ἐπ' αὐτῷ παρὰ τοσούτων καὶ τοιούτων πατέρων ἐλύθη τὰ δάκρυα, ὅσα οὐδ' ἂν ἐκ πολλῶν γονέων ἐρρύη, οὐ τὸ τεθνάναι θρηνούντων, ἀλλὰ τὴν ἀρετὴν καὶ τὸ κάλλος ἀνακαλουμένων τοῦ νέου καὶ ἡμῶν τῷ γήρατι συμπασχόντων, ὡς εἰκός, οὐ δυναμένῳ καὶ κάμνοντι. Τὸ δ' ἐμόν, οὐδὲ χρὴ λέγειν ὁπόσα εἰς παραμυθίαν ὅ τε λόγος ἥ τε πεῖρα τῶν πολλῶν συμφορῶν ἥ τε τάξις αἵ τε συμβουλαὶ πάντων ὑμῶν τῶν ἀδελφῶν καὶ φίλων ὑπαγορεύουσιν. Ἀλλ', ὦ τὸ γλυκύτατόν μοι πρᾶγμα καὶ ὄνομα, ὦ σορώτατέ μοι Σοριανέ, ὦ θεοχάριτέ μοι Θεόδωρε! Ὦ πᾶσι ποθουμένε τοῖς ἰδοῦσιν! Ὦ ψυχὴ παρθενικωτάτη καὶ ἄδολος! Σὺ μὲν τετελείωσαι δήπου, τοσοῦτον ἐμβιῶναι τῇ σκιᾷ τοῦ κόσμου τούτου συγχωρηθείς, ὅσον γνῶναι ταύτην καὶ καταγνῶναι, καὶ πρὸς τὸν Θεὸν ἥρπασαι τὸν ἀληθῆ πατέρα καὶ δεσπότην καὶ φίλον, κομισάντων σοι τὴν ἀγγελίαν τῆς ἁρπαγῆς μαρτύρων ἀνὰ μέρος δυοῖν ἢ ἀγγέλων ὑπὸ τοῖς μαρτυρικοῖς εἴδεσι καὶ ὀνόμασι. Διό σου καὶ τῷ λειψάνῳ ἔνθα μὲν ὁ Γεώργιος, ἔνθα δὲ ὁ Δημήτριος φρουροί τινες ἐφεστῶσιν, οὐχ ἡμετέρᾳ, θειοτέρᾳ δὲ προνοίᾳ συνενεχθέντες, ἵνα ταῖς ἀποκαλύψεσι πάντα συνάδῃ, καὶ τὸ σῶμα περιέπουσι ταῖς εἰκόσιν, οὗ τὴν ψυχὴν ἁρπάσαντες ἐκ τῶν τοῦ βίου κακῶν τῷ χορῷ παντὶ συγχαίρουσαν ἔχουσιν. Ἐγὼ δὲ αἰσχύνομαι κατ' ἐμαυτόν, τοσοῦτον εἰς ἀρετὴν τοῦ νεωτέρου λειπόμενος. Δέομαι δέ σου, τῇ μητρὶ πέμπε παραμυθίαν ἀπὸ Θεοῦ καὶ ἡμῖν, ἐν ὕπνοις

παρακαλῶν, ὕπαρ ἐμπνέων· καὶ ποίει ὅπως ἀπηλλαγμένοι λοιπῶν πειρασμῶν, ἡμακροθυμοῦντες ἐπερχομένων, μετὰ σοῦ γενώμεθα θᾶττον· οὗ καὶ αὐτὸς ἐπιθυμεῖν ἔλεγες πρὸ τῆς ἐξόδου μικρόν, ἠδύ τι πρὸς ἡμᾶς; ἀποβλέψας καί τι τῶν ἀπορρητοτέρων προσθείς, ὃ συνιδεῖν οὐκ ἔχω πρὸ τῆς ἐκβάσεως.

ΧΡ. ΠΑΠΑΙΩΑΝΝΟΥ

ΤΟ ΕΝ ΜΟΣΧΑ ΣΥΝΟΔΙΚΟΝ ΣΚΕΥΟΦΥΛΑΚΙΟΝ (*)

Γ'. Ἐπιγονάτια.

Ἐπιγονάτια σώζονται ἑπτά· τούτων σπουδῆς ἰδιαιτέρας ἄξιά εἰσι·

1. Τὸ ὑπ' ἀριθ. 1 τοῦ μητροπολίτου Φωτίου, ἐν Κωνσταντινουπόλει τῷ 1408 κατασκευασθὲν (ἔνθ. ἀνωτ.) μετὰ τῆς ἀχειροποιήτου εἰκόνος τοῦ Σωτῆρος ἐν τῇ ἄνω γωνίᾳ, ὑπ' αὐτὴν δ' ἐν κύκλῳ μεγάλῳ, ἀκριβῶς εἰς τὸ μέσον, ἡ Θεοτόκος μετὰ τοῦ προαιωνίου βρέφους ἐν χερσὶν ἐπὶ θρόνου καθεζομένη, τῶν ἀρχαγγέλων ἑκατέρωθεν ἱσταμένων, τοῦ ὅλου δὲ κύκλου τῆς εἰκόνος κλειομένου διὰ τῶν ἐν ταῖς τρισὶ γωνίαις κεντημένων Χερουβίμ, γύρωθεν δὲ διὰ μαργαριτῶν ἔχον κεντημένον τὸν ὕμνον «Ἄξιόν ἐστιν κλπ.» μηκ. 15 $^{3}/_{4}$ ἑκατοστ. πλατ. 15 ἑκατοστ. (Πίν. VII N. 36).

2. Τὸ ὑπ' ἀριθ. 2 τοῦ πατριάρχου Νίκωνος, ἔχον ἐν τῷ μέσῳ ἐπὶ χρυσοῦ ἐδάφους κεκοσμημένην διὰ μαργαριτῶν τὴν εἰκόνα τῆς Κοιμήσεως τῆς Θεοτόκου· κατεσκευάσθη κελεύσει τοῦ τσάρου Ἀλεξίου Μιχαήλοβιτς καὶ ἐδόθη ὡς δῶρον τῷ εἰρημένῳ πατριάρχῃ Μόσχας καὶ πάσης Ρωσίας.

3. Τὸ ὑπ' ἀριθ. 5 τοῦ πατριάρχου Ἰωακείμ, τὸ διὰ παννυχίδας, ἐξ ἀτλαζίου βυσσινοχρόου, κεντημένου διὰ ποικιλοχρόου μετάξης καὶ μαργαριταρίων μετὰ τῆς εἰκόνος τῆς Σταυρώσεως τοῦ Κυρίου ἐν τῷ μέσῳ, κεντημένης ἐπίσης διὰ μετάξης, γύρωθεν δὲ διὰ μαργαριτῶν· ἐν ταῖς γωνίαις πεποικιλμένοι ἐκ χρυσίου καὶ ἀργύρου χοροὶ Χερουβὶμ καὶ Σεραφίμ, κύκλῳ δὲ διὰ μαργαριτῶν τὸ τροπάριον «Βλέπων ὁ λῃστὴς τὸν Ἀρχηγὸν τῆς ζωῆς ἐν τῷ σταυρῷ κρεμάμενον ἔλεγεν κτλ.» κατεσκευάσθη τῷ 1686 ἰανουαρίου 17 (Περιγρ. 1686 φ. 82). Καὶ

4. Τὸ ὑπ' ἀριθ. 7 ἄγνωστον τίνι ἀνῆκον· πλούσιον ἐν μαργαρίταις καὶ λίθοις ἄλλοις τιμίοις· ἔχει ἐν τῷ μέσῳ σταυρὸν ἐκ χρυσῶν μετ' ἐγκαύστου κομβίων κατεσπαρμένων διὰ λεπτοτάτων σπινθηροβολούντων ἀδαμάντων· ἡ λόγχη καὶ ὁ κάλαμος ἐκ μαργαριτῶν· εἰς τὰς τέσσαρας γωνίας διὰ μαργαριτῶν παχέων κεντημένα Χερουβίμ. Τὰ ἄκρα δὲ γύρωθεν προσερραμμένα διὰ μαργαριτῶν μετὰ ἓξ χρυσῶν κομβίων πεποικιλμένων δι' ἀδαμάντων.

Δ'. Ἐπιμάνικα.

Ἐν τῷ Σκευοφυλακίῳ σώζονται δεκατρία ζεύγη τοιούτων. Τὰ ἐπισημότερα λόγῳ τέχνης, ἀρχαιότητος καὶ πολυτελείας καλλιτεχνικῆς εἰσι·

1. Τὰ ὑπ' ἀριθ. 1 τοῦ μητροπολίτου Μόσχας Φωτίου ἐξ ἀτλαζίου κυανογρόου, κεκοσμημένα διὰ πολυτίμων λίθων ἐν ταῖς σταυροειδῶς τοποθετημέναις κυκλοτερέσι πλαξίν, αἵτινες ἐντίθενται εἰς τὰ ἐκ πληθύος μαργαριτῶν ἐπ αὐτῶν ἀποτελούμενα κανονικὰ ρομβοειδῆ σχήματα. Τὰ ἐπιμάνικα ταῦτα, κατεσκευασμένα ἀρχικῶς ἐν Κωνσταντινουπόλει, περιγραφόμενα δὲ λεπτομερέστατα ἐν ταῖς περιγραφαῖς τοῦ 1631 καὶ 1633 μετεσκευάσθησαν πλουτισθέντα ἐπὶ μᾶλλον ὑπὸ τοῦ πατριάρχου Φιλαρέτου· εἰδικὴν περιγραφὴν αὐτῶν, ὡς ἀρχαιολογικῶν ἐκκλησιαστικῶν κειμηλίων, συνέγραψεν ὁ κ. Φιλίμονωβ, καταχωρισθεῖσαν τῷ 1866 ἐν τῇ «συλλογῇ τῆς ἀρχαίας ρωσσικῆς τέχνης» (τμημ. II σελ. 103) (Πίναξ VIII N. 37).

2. Τὰ ὑπ' ἀριθ. 4 τοῦ πατριάρχου Φιλαρέτου ἐξ ἀτλαζίου διηνθισμένου μετὰ κεντημένης ἐπ' αὐτῶν ἐκ χρυσοῦ καὶ ἀργύρου τῆς εἰκόνος τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου. Ἐν τῇ περιγραφῇ τοῦ 1631 φ. 67, γέγραπται ὅτι τὰ ἐπιμάνικα ταῦτα ἐδωρήσατο τῷ ἁγιωτάτῳ πατριάρχῃ καὶ μεγάλῳ κυρίῳ Φιλαρέτῳ Νικήτσινου ὁ πατριάρχης Ἱεροσολύμων Θεοφάνης. Πιθανῶς τῷ 1619 κατὰ τὴν ἐν Μόσχᾳ διατριβήν αὐτοῦ.[1] Τὸ μῆκος αὐτῶν 5 $^{1}/_{2}$ ἑκατοστ. (Πίναξ VIII N. 38).

(*) Συνέχεια ἀπὸ σελ. 475—478 παρελθόντος ἔτους.

[1] Ἐν τῇ περιγραφῇ ταύτῃ ἀναγινώσκομεν ἑτέραν περίεργον παρατήρησιν ἐπὶ τῶν ἐπιμανικίων τούτων τὴν ἑξῆς «νῦν δέ, τ. ἔ. ὅτε συνετάσσετο ἡ περιγραφὴ τοῦ 1631, τὰ ἐπιμάνικα ταῦτα οὐχ εὑρίσκονται ἐν τῷ Σκευοφυλακίῳ· κατὰ τὴν ἀφήγησιν τοῦ ἀρχιδιακόνου Συμεών καὶ τοῦ ὑποδιακόνου Θεοδώρου, διαταγῇ τοῦ μεγάλου κυρίου τοῦ ἁγιωτάτου πατριάρχου Φιλαρέτου, ἐδόθησαν ταῦτα τῷ μητροπολίτῃ Βερροίας (Ἀβερκίῳ) ὡς σχέδιον ἵνα κατασκευάσῃ (ἕτερα). Ὁ μητροπολίτης Ἀβέρκιος, ἐπ' ὀνόματι τοῦ ὁποίου σώζεται ἐν τῷ ἀρχιερατικῷ σκευοφυλακίῳ τῆς ἐν Βλαδιμίρῳ μονῆς τῆς Γεννήσεως ἀργυρόχρυσον πλουσίως κεκοσμημένον ἀρχιερατικὸν ἐγκόλπιον, ἀπετέλει μέχρι τοῦδε ἐν τῇ ἱστορίᾳ τῆς ρωσικῆς ἐκκλησιαστικῆς ἱεραρχίας προσωπικότητα ἄγνωστον (ὅρ. Ἀρχαιότ, ρωσ. Αὐτ. τμ. I. σελ. 173 καὶ

3. Τὰ ὑπ' ἀριθ. 2 τοῦ πατριάρχου Νίκωνος μετὰ κεντημένων πλουσίως διὰ μετάξης, παχέων μαργαριτῶν καὶ πολλῶν ἄλλων τιμίων λίθων ἐν βελούδῳ ἐπὶ τοῦ ἑνὸς μὲν τῆς εἰκόνος τοῦ Σωτῆρος, ἐπὶ τοῦ ἑτέρου δὲ τῆς Πλατυτέρας (Θεοτόκου)· καὶ ταῦτα διακρίνονται διὰ τὴν μεγάλην αὐτῶν πολυτέλειαν καὶ καλλιτεχνίαν. Τὸ μῆκος αὐτῶν τὸ αὐτὸ καὶ ἀνωτέρω.

4. Τὰ ὑπ' ἀριθ· 5 τοῦ πατριάρχου Πιτυροῦν ἐκ μέλανος βελούδου, πεποικιλμένα καὶ διὰ μαργαριτῶν μετὰ χρυσίου συνεστραμμένου.

5. Τὰ ὑπ' ἀριθ. 6, 8 καὶ 9 τοῦ πατριάρχου Ἰωακείμ. Τὰ ὑπ' ἀριθ. 8 κατὰ τὴν περιγραφὴν τοῦ 1686 φ. 94, περιέχουσαν σημείωσιν τοῦ σκευοφύλακος Ἰακύνθου, προσήνεγκε δῶρον τῷ πατριάρχῃ ἡ δούκισσα Εὐδοκία Πετρόβνα, σύζυγος τοῦ δουκὸς Γουρία Α. Δολγορούκη κατὰ τὴν ἀγρυπνίαν τῆς Πεντηκοστῆς· εἰσὶν ἐκ βελούδου κεκοσμημένα διὰ μαργαριτῶν καὶ λυγνιτῶν. Τὰ ὑπ' ἀριθ. 9 ἑξαμίτου χρυσοῦ ὑράσματος μετὰ διηνθισμένου ἐδάφους· κατεσκευάσθησαν δὲ τῷ 1681.

Ε'. Στιχάρια.

Στιχάρια σώζονται μόνον ἓξ ἐν τῷ Σκευοφυλακίῳ, ἐνῷ μέχρι τῆς τελευτῆς τοῦ τελευταίου πατριάρχου Μόσχας Ἀδριανοῦ ἐσώζοντο εἴκοσι καὶ τρία. Ἐκ τῶν διασωθέντων ἓξ τὰ ἐπισημότερά εἰσι τὰ ὑπ' ἀριθ. 1 καὶ 2 τοῦ πατριάρχου Νίκωνος (Πίναξ IX N. 42) ἐξ ἀτλαζίου κλαδωτοῦ μετ' ἀνθέων ἀργυροχρύσων· τὸ ὑπ' ἀριθ. 4 τοῦ πατριάρχου Ἰωακείμ καὶ τὸ ὑπ' ἀριθ. 5 τοῦ πατριάρχου Ἀδριανοῦ ἐξ ἀτλαζίου μετὰ διαφόρων χρυσοϋφάντων ἀνθέων.

[ἀκολουθεῖ]

Ἐν Μόσχᾳ, 15 9βρίου 1898.

Ἀρχιμ. Ἰάκωβος Βατοπεδινός

---

74 κλπ.) Ἀλλ' ἰδοὺ οὐ πρὸ πολλοῦ νέας ἀνεύρομεν θετικὰς πληροφορίας εἰς τὸ τμῆμα τῶν ἑλλην. ἐγγράφων ἐν τῷ Ἀρχείῳ τοῦ ὑπουργείου τῶν ἐξωτερικῶν ἐξ ὧν δηλοῦται α' ὅτι κατὰ ἰούλιον τοῦ 1628 ἀφίκετο εἰς Μόσχαν χάριν συλλογῆς συνδρομῶν ἐκ τῆς ἐν Βερροίᾳ μονῆς τῆς Κοιμήσεως ὁ μητροπολίτης Ἀβέρκιος, κομίσας ὡς δῶρα τῷ τσάρῳ Θεόδωροβιτς 2 σταυροὺς (φάκελ. 6. N. 10). β' ὅτι τῷ 1630 ὁ πατριάρχης Ἱεροσολύμων Θεοφάνης, ὁ δωρησάμενος τὰ ἐπιμάνικα τῷ πατριάρχῃ Φιλαρέτῳ ἐν τῷ πρὸς αὐτὸν γράμματι, μέμφεται τὸν Ἀβέρκιον ὡς συκοφάντην καὶ ταραχοποιὸν ἐν τῇ κατ' Ἀνατολὴν ἐκκλησίᾳ, ἀνακοινῶν σὺν ἄλλοις ὅτι ὁ Ἀβέρκιος οὗτος ἕνεκα τοῦ εὐτελοῦς καὶ διαβολικοῦ χαρακτῆρος αὐτοῦ πρὸ 20ετίας ἤδη ἐξεδιώχθη ἀπὸ τῆς μητροπόλεως Βερροίας, ἀπὸ 10ετίας δὲ μετῴκισεν εἰς Μολδοβλαχίαν (φάκελ. 9. N. 7 ἔνθ. ἀνωτ.) καὶ γ' ὅτι ὁ τσάρος Μιχαὴλ Θεόδωροβιτς ἐν γράμματι αὐτοῦ ἀπαντητικῷ πρὸς τὸν πατριάρχην Κωνσταντινουπόλεως Κύριλλον τὸν ΙΙΙ τὸν Κονταρῆν (τὸν χειροτονήσαντα εἰς διάκονον καὶ πρεσβύτερον τὸν Ἀβέρκιον, διαδεξάμενον δὲ αὐτὸν κατόπιν ἐν τῇ καθέδρᾳ τῆς Βερροίας (;) γράφει κατὰ ἰανουάριον τοῦ 1636 σὺν ἄλλοις «ἀγγέλλομεν τῇ Σῇ Ἁγιότητι, ὅτι ὁ μητροπολίτης Βερροίας Ἀβέρκιος κατὰ διαταγὴν ἡμετέραν καὶ τοῦ ἁγιωτάτου πατριάρχου Φιλαρέτου καὶ κατ' ἀπόφασιν τῆς Συνόδου ἐξεδιώχθη ἐκ Μόσχας πρὸς ἡσυχίαν πνευματικήν· ἀλλ' ἤδη χάριν τῆς ὑμετέρας πατριαρχικῆς αἰτήσεως διετάξαμεν τὸν μητροπολίτην Βερροίας Ἀβέρκιον ἵνα ἐπαναγάγωσιν εἰς Μόσχαν καὶ ἀφῶσιν αὐτὸν ἐλεύθερον νὰ ἀναχωρήσῃ εἰς Κωνσταντινούπολιν (φάκελ. 14 N. 14)· ἐκ τῆς ἀναδιφήσεως τοῦ σχετικοῦ φακέλλου δῆλον καθίσταται ὅτι τῷ Ἀβερκίῳ εἶχεν ὁρισθῆ ὡς τόπος διαμονῆς καὶ ἡσυχίας ἡ Κοστρόμα· ἀλλὰ διὰ ποῖον λόγον ὑπέπεσεν οὗτος εἰς τὴν δυσμένειαν καὶ ὀργὴν τοῦ τσάρου, ἐνῷ πρότερον τοσαύτης ἀπήλαυε παρ' αὐτῷ τε καὶ τῷ πατριάρχῃ ὑψηλῆς εὐνοίας, εἶναι ἄγνωστον, ἐκτὸς ἐὰν τοιοῦτος λόγος ἐχρησίμευσε τὸ ἀνωτέρω μνημονευθὲν πρὸς τὸν πατριάρχην Φιλάρετον γράμμα τοῦ πατριάρχου Ἱεροσολύμων Θεοφάνους.

Η ΟΡΘΟΔΟΞΟΣ ΑΝΑΤΟΛΙΚΗ ΕΚΚΛΗΣΙΑ ΕΝ ΑΓΓΛΙΑ

Πολλαχῶς καὶ κατὰ διαφόρους περιστάσεις, ὡς γνωστόν, ζωηραὶ ἐξεδηλώθησαν ἐν Ἀγγλίᾳ αἱ πρὸς ὅσονέν ἐστι στενωτέραν πρὸς τὴν ὀρθόδοξον Ἀνατολικὴν Ἐκκλησίαν προσέγγισιν τάσεις, ἑταιρίαι δὲ ἐπὶ τούτῳ ἱδρυθεῖσαι οὐκ ἐπαύσαντο ἀνενδότως ἐργαζόμεναι πρὸς ἐπίτευξιν τοῦ μεγάλου τούτου καὶ ἱεροῦ πόθου. Πρὸς τοῦτο δὲ ἀπεσκόπουν καὶ αἱ ἐπ' ἐσχάτων πρὸς ἄλλας αὐτοκεφάλους Ἐκκλησίας τῆς Ἀνατολῆς καὶ δὴ πρὸς τὸν Οἰκουμενικὸν Πατριάρχην γενόμεναι ἐπισκέψεις ὑπὸ τριῶν ἐκ τῶν διασημοτέρων τῆς Ἀγγλικανικῆς Ἐκκλησίας ἱεραρχῶν, τῶν θεοφιλεστάτων δηλονότι Σαρισβουρίας, Ἀρκαΐλ καὶ Γιβραλτάρης, οἷς ἀδελφικωτάτη καὶ τιμητικωτάτη ἐγένετο ὑποδοχὴ ὑπὸ τῆς Α. Θ. Παναγιότητος, πολλαὶ δὲ κατὰ τὴν μετ' αὐτῶν συνέντευξιν διημείφθησαν σκέψεις, ὑποκείμενον ἐχουσαι τὴν σύσφιγξιν τῶν σχέσεων τῆς Ἀγγλικανικῆς μετὰ τῆς Ὀρθοδόξου Ἐκκλησίας. Ἔκτοτε δὲ αἱ τάσεις αὗται ἐπὶ πλέον ἐπιταθεῖσαι, προσέλαβον πρακτικωτέραν ὑπόστασιν, ὡς διαφαίνεται ἐξ ἄλλων τε δεδομένων καὶ ἐξ ὧν ἀνακοινοῖ ἡμῖν ὁ ἐν Ἀγγλίᾳ χάριν σπουδῶν διατρίβων νῦν ἱερολογιώτατος Ἱερόθεος Τεκνόπουλος, ἐξαγγέλλων πρὸς τοῖς ἄλλοις καὶ τὴν ἔναγχος ἔκδοσιν σπουδαιοτάτου συγγράμματος ὑπὸ τοῦ αἰδεσιμωτάτου A. H. Hore M. A., καθηγητοῦ ἐκ τῶν τὰ πρῶτα φερομένων, ἐν τῷ περιπύστῳ πανεπιστημίῳ τῆς Ὀξφόρδης, ἐπιγραφομένου «Eighteen Centuries of the Orthodox Greek Church», ἤτοι «Αἱ δέκα καὶ ὀκτὼ ἑκατονταετηρίδες τῆς Ὀρθοδόξου ἑλληνικῆς Ἐκκλησίας», καὶ

πραγματευομένου, ἐν 693 σελίσι, σχήματος μεγάλου ὀγδόου, περὶ τοῦ βίου καὶ τῆς δράσεως τῆς ἡμετέρας Ἐκκλησίας κατὰ τὸ διάστημα τῶν 18 τούτων αἰώνων.

Τὸ ἔργον τοῦ σοφοῦ Ἀγγλικανοῦ περισπούδαστον καθ' ἑαυτό, ἔτι προσηλίστερον καθίσταται, ἅτε ἀποτελοῦν περιφανεστάτην ἀπόδειξιν τοῦ ἐνδιαφέροντος καὶ τῆς ἐκτιμήσεως, ἅπερ οὐκ ἐπαύσατο διατρανῶν ὁ ἀνώτερος κλῆρος τῆς Ἀγγλικανικῆς Ἐκκλησίας πρὸς τὴν ἡμετέραν Ὀρθόδοξον Ἀνατολικήν.

Περικοπαί τινες ἐκ τοῦ ὀγκώδους τούτου πονήματος ἀρκοῦσι νὰ καταδείξωσι τὴν ἀξίαν τοῦ ἔργου:

«Ἡ Ὀρθόδοξος Ἑλληνικὴ ἢ Ἀνατολικὴ Ἐκκλησία εἶναι ἡ ἀρχαιοτάτη τῶν χριστιανικῶν Ἐκκλησιῶν. Ἡ Ἐκκλησία τῆς Ἱερουσαλὴμ ὑπῆρξεν ἡ μήτηρ τοῦ χριστιανισμοῦ. Ἐν Ἀντιοχείᾳ τὸ πρῶτον οἱ πιστοὶ ὠνομάσθησαν χριστιανοί. Ἀφ' ἑτέρου (δηλ. προκειμένου περὶ τῆς Ἐκκλησίας τῆς Ρώμης) δὲν ὑπάρχει βεβαία ἀπόδειξις, ὅτι ὁ Ἅγιος Πέτρος μετέβη ποτὲ εἰς Ρώμην, ἐνῷ ὑπάρχει βεβαία ἀπόδειξις, ὅτι τούτου ἡ ἀποστολὴ ἦτο ἐν Συρίᾳ· καὶ, ἐὰν οἱ ἐξῆς λόγοι τῆς Α' αὐτοῦ ἐπιστολῆς «Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ καὶ Μᾶρκος ὁ υἱός μου» (Α' Πετ. ε, 73) ληφθῶσιν ἐν τῇ κυρίᾳ αὐτῶν ἐννοίᾳ πειθόμεθα ὅτι οὗτος προὐχώρησε μέχρι Βαβυλῶνος. Ὁ Ἅγιος Πέτρος κατήγετο ἐκ Ταρσοῦ τῆς Κιλικίας. Ἀπὸ τῆς Ἀνατολῆς τὸ ἱερὸν Εὐαγγέλιον διεδόθη εἰς τὴν Δύσιν. Ἡ Ἐκκλησία τῆς Ρώμης εἶναι Ἑλληνικὴ Ἐκκλησία. «Ἡ Ἐκκλησία τῆς Ρώμης, λέγει ὁ κ. Dean Stanley, εἶναι ἀποικία Ἑλλήνων χριστιανῶν καὶ Ἰουδαίων ἑλληνιστῶν». Ἡ ἀρχικὴ γλῶσσα τῆς Ἐκκλησίας καθ' ὅλου, οὐ μόνον ἐν τῇ Ἀνατολῇ, ἀλλ' ὡσαύτως καὶ ἐν τῇ Δύσει, ἦτο ἑλληνική. «Τῶν Ἐκκλησιῶν τῆς Δύσεως, λέγει ὁ κ. Dean Milman, ἡ γλῶσσα ἦτο ἑλληνική, ὁ διοργανισμὸς τῶν ἑλληνικός, τὰ συγγράμματά των ἑλληνικά, αἱ Ἅγιαι Γραφαί των ἑλληνικαί, καὶ πολλαὶ παραδόσεις ἀποδεικνύουσιν, ὅτι καὶ ἡ ἱερὰ λειτουργία των ἦτο ἑλληνική». Ἡ ἀρχαία ἑβραϊκὴ γλῶσσα κατὰ τὰς Βαβυλωνικὰς καὶ Περσικὰς κατακτήσεις ἐξηφανίσθη, ἢ ὑπεσκελίσθη ὑπὸ τῆς Ἀραμαϊκῆς καὶ Χαλδαϊκῆς διαλέκτου. Μετὰ τὰς κατακτήσεις τοῦ Μεγάλου Ἀλεξάνδρου ἡ ἑλληνικὴ γλῶσσα ἐγένετο ἡ ἐπικρατοῦσα γλῶσσα τῆς Αἰγύπτου καὶ τῆς Συρίας καὶ πρὸς χάριν τῶν Ἰουδαίων ἐν τῇ νέᾳ αὐτῶν ἐν Ἀλεξανδρείᾳ ἀποικίᾳ, οἵτινες ἀπολέσαντες τὴν ἑαυτῶν γλῶσσαν ὡμίλουν τὴν ἑλληνικήν, αἱ Ἅγιαι Γραφαὶ μετεγλωττίσθησαν εἰς τὴν ἑλληνικήν, καὶ ἡ μετάφρασις αὕτη, ἡ γνωστὴ τῶν Ο', εἶχε τὴν ἑαυτῆς θέσιν ἐν τῇ περιφανεῖ βιβλιοθήκῃ τῶν Πτολεμαίων. Ὁ κ. Dean Stanley ἐπάγεται καὶ τὰ ἑξῆς: Ὁ ταπεινοφρονέστατος χωρικός, ὅστις ἀναγινώσκει τὴν Παλαιὰν καὶ τὴν Νέαν Διαθήκην ἐπὶ τῶν λόφων τῆς Βοιωτίας, δύναται ὑπερηφάνως νὰ αἰσθανθῇ, ὅτι αὐτὸς πρῶτος ἐμυήθη εἰς τὴν θείαν ἀλήθειαν, ἣν ὁ Πάπας ἢ ὁ Καρθηνάλιος ἐννοεῖ ἐν βαρβάρῳ καὶ ἀτελεῖ μεταφράσει». . . . . .

. . . Οἱ πρῶτοι πατέρες προῆλθον ἐξ Ἀνατολῆς, καὶ, ἐξαιρουμένου τοῦ Τερτυλλιανοῦ, (ὅστις ὡρμᾶτο ἐκ Καρθαγένης), ἔγραψαν ἑλληνιστί. Οἱ πρῶτοι κυριώτεροι συγγραφεῖς τῆς Ἐκκλησιαστικῆς Ἱστορίας ὑπῆρξαν Ἕλληνες, οἷοι ὁ Εὐσέβιος, ὁ Σωκράτης, ὁ Σωζόμενος, ὁ Θεοδώρητος, ὁ Εὐάγριος. Πᾶσαι αἱ Οἰκουμενικαὶ Σύνοδοι συνεκροτήθησαν ἐν Ἀνατολῇ, καὶ τὰ δόγματα, οἱ κανόνες καὶ τὸ Σύμβολον τῆς Νικαίας ἐγράφησαν ἑλληνιστί. Σύνοδος τῆς ἑλληνικῆς Ἐκκλησίας, ἡ ἐν Ἀκυδικείᾳ, 367 μ. Χ. συνεπλήρωσε τὸν κανόνα τῶν Γραφῶν, καὶ οὕτω κατηρτίσθησαν τὰ κανονικὰ βιβλία τῆς Ἁγίας Γραφῆς.

Ὥστε ὁ ἑλληνικὸς χριστιανισμὸς εἶναι ὁ πατὴρ τοῦ Λατινικοῦ χριστιανισμοῦ, καὶ αἱ Ἐκκλησίαι τῆς Ρώμης καὶ τῆς Ἀγγλίας εἰσὶ τῷ ὄντι, ἐν τῇ παρούσῃ καταστάσει τοῦ χριστιανισμοῦ, κεχωρισμένα μέλη τῆς ἑλληνικῆς Ἐκκλησίας κτλ.»

Ταῦτα μεταξὺ τῶν ἄλλων γράφει ὁ σοφὸς Ἀγγλικανὸς ἐν τῷ μεγίστης σπουδαιότητος συγγράμματι αὐτοῦ, ἐξαίρων τὴν θέσιν καὶ τὴν ἔνδοξον δράσιν τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας καὶ μάλιστα ἔνθα ἀντιπαραβάλλει αὐτὴν πρὸς τὴν παπικὴν Ἐκκλησίαν. Ἐκ δὲ τῶν ὧδε ἀναγραφεισῶν ὀλίγων περικοπῶν εὐχερῶς ὁ ἀναγνώστης δύναται νὰ κρίνῃ περὶ τῆς ἀξίας τοῦ ὅλου συγγράμματος, νὰ κατανοήσῃ δὲ καὶ τὸν ἔξοχον σεβασμὸν καὶ τὸ μέγα ἐνδιαφέρον ὑπὲρ τῆς ἡμετέρας Ἐκκλησίας τοῦ σοφοῦ συγγραφέως καὶ ἐν τῷ περικλείει τῆς Ὀξφόρδης πανεπιστημίῳ, τῷ ἰσχυρῷ τούτῳ τῆς Ἀγγλικανικῆς Ἐκκλησίας προπυργίῳ, ἐπιφανοῦς καθηγητοῦ, πιστῶς ἑρμηνεύοντος τὸ φρόνημα καὶ τὰς σκέψεις συμπάσης τῆς Ἐκκλησίας, εἰς ἣν ἀνήκει. Ἀποτελεῖ δὲ τοῦτο νέον ἄριστον οἰωνὸν τῆς μετὰ οὕτω διαπύρου πόθου καὶ ἐπιμόνου ἐργασίας ἐπιδιωκομένης προσεγγίσεως τῶν δύο Ἐκκλησιῶν.

Ο ΝΕΟΣ ΜΗΤΡΟΠΟΛΙΤΗΣ
ΠΕΤΡΟΥΠΟΛΕΩΣ ΚΑΙ ΑΛΔΟΓΗΣ
ΑΝΤΩΝΙΟΣ

Ἐγράψαμεν προλαβόντως ὅτι εἰς διαδοχὴν τοῦ ἀποθανόντος Μητροπολίτου Πετρουπόλεως Παλλαδίου ἐξελέγη ὁ ἀρχιεπίσκοπος Βιμπόργου καὶ Φιλλανδίας Ἀντώνιος. Ὁ διορισμὸς τοῦ νέου Μητροπολίτου ἐγίνετο διὰ τοῦ ἑξῆς Αὐτοκρατορικοῦ διατάγματος, δημοσιευθέντος ἐν τῇ ἐφημερίδι τῆς Κυβερνήσεως κατὰ τὴν ἡμέραν τῶν Χριστουγέννων.

Πανιερώτατε Μητροπολῖτα Πετρουπόλεως Ἀντώνιε.

Φροντίζων περὶ τῆς ἐκλογῆς ἀξίου διαδόχου τοῦ ἀποθανόντος ἀειμνήστου Μητροπολίτου Πετρουπό-

λεως Παλλαδίου, ἔστρεψα τὴν προσοχήν Μου εἰς τὴν λυσιτελεστάτην δρᾶσιν ὑμῶν ὡς πρυτάνεως τῆς Πνευματικῆς Ἀκαδημίας Πετρουπόλεως καὶ εἰς τοὺς καρποφόρους μόχθους ὑμῶν ὑπὲρ τῆς διοργανώσεως τῆς ἐπαρχίας Φιλλανδίας. Διὸ ἔκρινα δίκαιον νὰ ἐμπιστευθῶ ὑμῖν τὴν διοίκησιν τῆς ἐπαρχίας Πετρουπόλεως, ἀνάγων ὑμᾶς εἰς τὸν βαθμὸν Μητροπολίτου.

Ἀκραδάντως πέποιθα ὅτι ὑμεῖς, σχόντες ἤδη τὴν εὐκαιρίαν ἐκ τοῦ σύνεγγυς νὰ γνωρίσητε τὰς πνευματικὰς ἀνάγκας τοῦ ποιμνίου τῆς ἐπαρχίας ταύτης, θὰ καταβάλητε ζηλωτὴν προσπάθειαν πρὸς ἐμψύχωσιν τῆς ποιμαντικῆς δράσεως τοῦ κλήρου τῶν πόλεων καὶ τῶν χωρίων, πρὸς ἀναζωπύρησιν τοῦ διδακτικοῦ κηρύγματος, πρὸς μόρφωσιν ἐν τοῖς ἐκκλησιαστικοῖς ἐκπαιδευτηρίοις καλῶν τῷ λαῷ ποιμένων καὶ διδασκάλων ἀληθοῦς ἐθνικῆς παιδείας διὰ τὰς ἐκκλησιαστικὰς ἐνοριακὰς σχολάς.

Διαβιβάζων ὑμῖν λευκὸν ἐπικαλύμμαυχον μετὰ σταυροῦ ἐκ πολυτίμων λίθων καὶ ἀνατιθεὶς Ἐμαυτὸν εἰς τὰς εὐχὰς ὑμῶν, διατελῶ εὔνους ὑμῖν.

(ὑπ.) ΝΙΚΟΛΑΟΣ

Εἰς τὴν Ἁγιωτάτην δὲ Σύνοδον τῆς Ρωσσίας ὁ διορισμὸς οὗτος ἀνηγγέλθη διὰ τοῦ ἑξῆς διατάγματος.

Διατάσσομεν Παγευμενῶς ὅπως ὁ Ἀρχιεπίσκοπος Φιλλανδίας Ἀντώνιος ὑπάρχῃ Μητροπολίτης Πετρουπόλεως καὶ Λαδόγης, Ἱερὸς Ἀρχιμανδρίτης τῆς Λαύρας Ἀλεξάνδρου τοῦ Νεύσκη καὶ Μέλος τῆς Ἁγιωτάτης Συνόδου.

(ὑπ.) ΝΙΚΟΛΑΟΣ

Δι' ἑτέρων δὲ Αὐτοκρατορικῶν διαταγμάτων, αὐθημερὸν ἐπίσης δημοσιευθέντων, ἐξηγγέλθη ὅτι Πρωτεῦον Μέλος τῆς Ἁγιωτάτης Συνόδου διωρίζετο ὁ Μητροπολίτης Κιέβου Ἰωαννίκιος. Τὰ διατάγματα ταῦτα ἔχουσιν ὡς ἑξῆς :

Πρὸς τὸ Πρωτεῦον Μέλος τῆς Ἁγιωτάτης Συνόδου τὸν Παγιερώτατον Ἰωαννίκιον, Μητροπολίτην Κιέβου καὶ Γαλικίας.

Παγιερώτατε Μητροπολῖτα Κιέβου Ἰωαννίκιε.

Ὁ γνωστός μοι πεφωτισμένος ζῆλος ὑμῶν ὑπὲρ τῆς Ἁγίας Ἐκκλησίας καὶ τῆς διαφυλάξεως ἐν καθαρότητι τῆς διδασκαλίας αὐτῆς, καθὼς καὶ ἡ πολυετὴς πεῖρα τῆς ὑμετέρας ἀξιεπαίνου ἀρχιερατικῆς ὑπηρεσίας, Μὲ παρορμῶσι νὰ ἀναθέσω εἰς ὑμᾶς τὴν διεύθυνσιν τῆς ἀνωτάτης ἐκκλησιαστικῆς διοικήσεως, ἀναγορεύων ὑμᾶς Πρωτεῦον Μέλος τῆς Ἁγιωτάτης Συνόδου.

Πέποιθα ὅτι ἐν τῷ ὑπουργήματι τούτῳ θὰ φανῆτε ἀληθὴς φρουρὸς τῆς ὀρθοδοξίας καὶ τῆς εἰρήνης τῆς ὀρθοδόξου Ρωσσικῆς Ἐκκλησίας.

Ἀνατιθεὶς Ἐμαυτὸν εἰς τὰς εὐχὰς ὑμῶν, διατελῶ εὔνους ὑμῖν ἐσαεί.

(ὑπ.) ΝΙΚΟΛΑΟΣ.

Τῇ Ἁγιωτάτῃ Διοικούσῃ Συνόδῳ.

Διατάσσομεν Παγευμενῶς ὅπως τὸ Συνοδικὸν Μέλος ὁ Μητροπολίτης Κιέβου Ἰωαννίκιος ὑπάρχῃ Πρωτεῦον Μέλος τῆς Ἁγιωτάτης Συνόδου, ἀπόντος δὲ τοῦ Μητροπολίτου Κιέβου Ἰωαννικίου ἐκ Πετρουπόλεως, τὴν ἐκπλήρωσιν τῶν καθηκόντων αὐτοῦ ὡς Πρωτεύοντος ἀναλαμβάνῃ ὁ πρῶτος ἐκ τῶν παρακαθημένων ἐν τῇ Συνόδῳ ἱεραρχῶν. *

(ὑπ.) ΝΙΚΟΛΑΟΣ.

Ὁ Μητροπολίτης Ἀντώνιος, ἅγων νῦν τὸ 52 ἔτος τῆς ἡλικίας αὐτοῦ, ἀπὸ πολλοῦ ἦδη ὑπεδεικνύετο ὡς ὁ ἄριστος ὑποψήφιος διὰ τὸν θρόνον Πετρουπόλεως, ὅπου διῆλθε τὰ πλεῖστα ἔτη τῆς ἱερατικῆς διακονίας αὐτοῦ, ἀπολαύων τῆς γενικῆς ἐκτιμήσεως καὶ ὑπολήψεως διὰ τὴν παιδείαν αὐτοῦ καὶ τὴν σύνεσιν. Κατὰ κόσμον Ἀλέξανδρος Βασιλείου Βαδκόβσκης ὀνομαζόμενος καὶ ἔγγαμος ὢν ἔσχε τὴν δυστυχίαν νὰ ἀπολέσῃ διαδοχικῶς ἀπὸ τοῦ 1879—1882 πρῶτον μὲν τὴν σύζυγον εἶτα δὲ καὶ τὰ δύο τέκνα αὐτοῦ. Μετὰ τὰ οἰκογενειακὰ ταῦτα ἀτυχήματα ὁ Ἀλέξανδρος ἀπεφάσισε νὰ ἀπαρνηθῇ τὰ ἐγκόσμια καὶ νὰ ἀφιερώσῃ ἑαυτὸν τῷ Θεῷ. Καρεὶς κατὰ τὸ 1883 ὑπὸ τοῦ τότε Μητροπολίτου Καζανίου Παλλαδίου μοναχὸς ὑπὸ τὸ ὄνομα Ἀντώνιος καὶ ἀναχθεὶς διαδοχικῶς μέχρι τοῦ βαθμοῦ ἀρχιμανδρίτου, διωρίσθη ἀκολούθως ἐπόπτης τῆς Πνευματικῆς Ἀκαδημίας Καζάν, ἐν ᾗ καὶ πρότερον, λαϊκὸς ἔτι ὤν, διετέλει ὑρηγητὴς τῆς ποιμαντικῆς καὶ τῆς ὁμιλητικῆς. Ἐκ τῆς Ἀκαδημίας Καζὰν μετετέθη κατ' Αὔγουστον τοῦ 1885 εἰς τὴν Ἀκαδημίαν Πετρουπόλεως ὡς ἐπόπτης αὐτῆς, μετὰ δύο δὲ ἔτη (κατὰ τὸ 1887) διωρίσθη πρύτανις αὐτῆς, ἀναγορευθεὶς ἅμα ἐν τῇ Ἁγιωτάτῃ

(*) Πρὸς κατανόησιν τῶν διαταγμάτων τούτων ὑπὸ τῶν ἡμετέρων ἀναγνωστῶν σημειοῦμεν ὅτι τὰς ἐν τῇ Ρωσσικῇ Συνόδῳ ἐργασίας διευθύνει ὁ φέρων τὸν τίτλον Πρωτεῦον Μέλος (οὐχὶ Πρόεδρος, διότι Πρόεδρος θεωρεῖται ὁ Αὐτοκράτωρ, ὅστις ἐν χρόνοις προγενεστέροις καὶ παρεκάθητο μάλιστα ἐν τῇ Συνόδῳ ἐκτάκτως) ἱεράρχης, διοριζόμενος ὑπὸ τοῦ Αὐτοκράτορος ἐκ τῶν τριῶν Μητροπολιτῶν Πετρουπόλεως, Μόσχας, καὶ Κιέβου, κατὰ τὰ πρεσβεῖα συνήθως τῆς χειροτονίας. Τὰ λοιπὰ μέλη τῆς Συνόδου, ὧν ὁ ἀριθμὸς ἐκάστοτε ποικίλλει καὶ ἐν οἷς συγκαταλέγονται πολλάκις καὶ ἐπίσκοποι ἁπλοῖ ἄνευ ἐπαρχίας καὶ ἄνευ τίτλου ἔτι, διορίζονται ἐπίσης ὑπὸ τοῦ Αὐτοκράτορος. Καίτοι δὲ πάντες οἱ ἐν τῇ Συνόδῳ παρακαθήμενοι ἔχουσιν ἴσην ψῆφον, δὲν φέρουσιν ὅμως πάντες τὴν κλῆσιν Συνοδικὸν Μέλος, διότι ὁ τίτλος οὗτος χορηγεῖται ὑπὸ τοῦ Αὐτοκράτορος ὡς ἰδιαιτέρα ἐπιβράβευσις ὑπηρεσιῶν καὶ παραμένει καὶ ὅταν ἀκόμη ὁ λαβὼν αὐτὸν ἀπέλθῃ εἰς τὴν ἐπαρχίαν αὐτοῦ καὶ παύσῃ παρακαθήμενος ἐν τῇ Συνόδῳ. Ὁ νέος Μητροπολίτης Ἀντώνιος ἐπὶ τοσαῦτα ἔτη παρακαθήμενος ἐν τῇ Συνόδῳ μόλις νῦν ἔλαβε τὸν τίτλον τοῦ Συνοδικοῦ Μέλους.

Συνόδῳ ἐπίσκοπος Βιμπόργου καὶ δεύτερος βικάριος ἐπίσκοπος τοῦ Μητροπολίτου Πετρουπόλεως Ἰσιδώρου. Κατὰ τὸ 1892 ἡ ἐπισκοπὴ Βιμπόργου ἀνήχθη εἰς ἀρχιεπισκοπὴν Φιλλανδίας, καὶ ὁ Ἀντώνιος ἀρχιεπίσκοπος ἤδη γενόμενος διωρίσθη μέλος τῆς Ἁγιωτάτης Συνόδου, ἔνθα καὶ ἀδιακόπως παρήδρευε μέχρι τοῦ νῦν. Διὰ τὰ ἐπιστημονικὰ αὐτοῦ ἔργα, ἀναφερόμενα ἰδίᾳ εἰς τὴν ἱστορίαν τῆς ὁμιλητικῆς, ὁ Μητροπολίτης Ἀντώνιος ἔλαβε τὸν τίτλον δόκτορος τῆς ἐκκλησιαστικῆς ἱστορίας, ἡ δρᾶσις δὲ αὐτοῦ ἐν τῷ ζητήματι τῆς ἑνώσεως τῶν παλαιοκαθολικῶν εἶνε ἤδη γνωστὴ εἰς τοὺς ἀναγνώστας ἡμῶν ἐκ τῶν δημοσιευθέντων ἄλλοτε ἐν τῇ «Ἐκκλ. Ἀληθείᾳ». Ὁ Μητροπολίτης Ἀντώνιος ἀντεπροσώπευσεν ὡσαύτως πέρυσι τὴν ὀρθόδοξον Ρωσσικὴν Ἐκκλησίαν ἐν Ἀγγλίᾳ κατὰ τὸ ἰωβιλαῖον τῆς Ἀνάτσης Βικτωρίας, τυχὼν θερμοτάτης αὐτόθι ὑποδοχῆς.

ΜΕΛΕΤΗ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΚΑΙ ΤΗΣ ΔΙΔΑΣΚΑΛΙΑΣ ΑΥΤΗΣ ΕΠΙΦΕΡΟΜΕΝΩΝ ΕΝΣΤΑΣΕΩΝ

ὑπὸ

Ἱεροδ. ΘΕΟΚΛΗΤΟΥ ΠΑΠΑΔΟΠΟΥΛΟΥ

Καὶ δι' ἐκείνων μέν, ὅσα μέχρι τοῦδε προετάξαμεν εἴχομεν διαζωγραφήσῃ τοὺς ἀντιπάλους ἡμῶν σχετικῶς πρὸς τὴν θεολογικὴν αὐτῶν ἐπιστημοσύνην. Διὰ δὲ τῶν ἑπομένων θέλομεν ἐξετάσῃ τὴν σημασίαν τῶν ἐνστάσεων, τὰς ὁποίας οὗτοι προσβάλλουσι κατὰ τοῦ χριστιανισμοῦ.

Ὅλην τὴν σειρὰν τῶν ἐνστάσεων ταύτων δυνάμεθα νὰ συγκεφαλαιώσωμεν εἰς τὰς ἑξῆς τέσσαρας οὐσιώδεις προτάσεις.

Πρῶτον, ὅτι καταπολεμοῦσι τὸν χριστιανισμὸν διὰ τὴν ἐπιρροήν, τὴν ὁποίαν ἐξήσκησε καὶ ἐξασκεῖ ἐν τῷ κόσμῳ προσπαθοῦντες νὰ παραστήσωσιν αὐτὸν ὡς πολέμιον τῆς κοινωνίας καὶ πάσης προόδου.

Δεύτερον, προσβάλλουσι τὸν χριστιανισμὸν εἰς τὰ δόγματα αὐτοῦ ἐπιζητοῦντες ἀφ' ἑνὸς μέν νὰ καταστρέψωσι τὰς βάσεις τῆς θείας δυνάμεως, ἐφ' ἧς στηρίζεται, ἀφ' ἑτέρου δὲ νὰ παραστήσωσιν ὡς παράλογα τὰ δόγματα, τὰ ὁποῖα οὗτοι ἀποστρέφονται.

Τρίτον, προσβάλλουσι τὴν ἠθικὴν τοῦ χριστιανισμοῦ παριστῶντες αὐτὴν ὁτὲ μὲν ὡς ἐγκράτειαν φύσει ἀπραγματοποίητον, ἄλλοτε δὲ ὡς μαλθακότητα καὶ ἀβρέπειαν εἰς οὐδεμίαν κοινωνικὴν τάξιν ἁρμόζουσαν.

Τέταρτον δὲ καὶ τελευταῖον προσβάλλουσι τὸν χριστιανισμὸν ἐν τῇ λατρείᾳ αὐτοῦ προσπαθοῦντες νὰ καταγελάσωσιν αὐτῆς ἢ νὰ κηρύξωσι τὸ ἀδύνατον τῆς ἐφαρμογῆς τῶν διατάξεων αὐτῆς.

Διέλθωμεν λοιπὸν ἀλληλοδιαδόχως τὰς τέσσαρας ταύτας σειρὰς τῶν ἐνστάσεων ἐκλέγοντες τὰς κυριωτέρας ἐξ αὐτῶν, ἐκείνας δηλ. τὰς ὁποίας διαδίδουσι μετὰ περισσοτέρας πεποιθήσεως καὶ εὐκολίας εἰς τὸν λαόν, καὶ συνοψίζοντες τρόπον τινὰ ἐκθέσωμεν αὐτὰς ἐν ὅλῃ αὐτῶν τῇ ἰσχύϊ χωρὶς νὰ ἐπιζητῶμεν νὰ τὰς ὑπεκρύγωμεν ἢ νὰ τὰς ἐξασθενίσωμεν, ἐλπίζομεν δὲ νὰ τὰς λύσωμεν. Ἐλπίζομεν μάλιστα, ὡς ἤδη εἴπομεν, νὰ ἀποδείξωμεν ἐπὶ τῇ περιστάσει ταύτῃ τὴν δύναμιν τῆς ἀληθείας τοῦ χριστιανισμοῦ γνωστοῦ ὄντος ὅτι ἡ ἀλήθεια οὐδέποτε πατάσσεται παρὰ τῶν πολεμίων αὐτῆς χωρὶς νὰ διαχύσῃ τὸ ἄπλετον φῶς ὅπερ περιέχει ἐν ἑαυτῇ.

Δὲν θὰ δυνηθῶμεν νὰ πραγματευθῶμεν ὅλα τὰ ζητήματα ταῦτα μεθ' ὅλης ἐκείνης τῆς ἐκτάσεως ἣν ἐπιφυλασσόμεθα ἑνὶ ἑκάστῳ ἐξ αὐτῶν. Ὁ κύκλος τῶν ζητημάτων, εἰς ἃ θέλομεν ἐνασχοληθῇ εἶνε τόσον εὐρύς, ὥστε δὲν θὰ ἔχωμεν τὸν ἀπαιτούμενον καιρὸν νὰ τὸν διατρέξωμεν ἐὰν θελήσωμεν νὰ δώσωμεν εἰς ἕκαστον ἐξ αὐτῶν τὴν προσήκουσαν ἔκτασιν. Ἀλλὰ θὰ προσπαθήσωμεν νὰ καθορίσωμεν, τό γ' ἐφ' ἡμῖν, ἀκριβῶς καὶ τὴν ἔνστασιν καὶ τὴν πρὸς αὐτὴν ἐμπρέπουσαν ἀπάντησιν, ἀποβλέποντες μᾶλλον εἰς τὴν οὐσίαν καὶ λέγοντες ἱκανὰ δι' ἐκείνους, οἵτινες θέλουσι νὰ ἀκούσωσι καὶ δύνανται νὰ σκεφθῶσι σοβαρῶς.

Ἀλλ' ἐγκαταλείψαντες τὰ εἰσαγωγικὰ ταῦτα προλεγόμενα, δι' ὧν προετάξαμεν πᾶν ὅ,τι ἦτο ἀπαραίτητον νὰ γνωρίσωμεν προκαταρκτικῶς, εἰσέλθωμεν ἤδη εἰς τὰς συζητήσεις, αἵτινες μᾶς ἀναμένουσιν.

Δὲν πρέπει νὰ λησμονήσωμεν ὅτι αἱ κατὰ τῆς ἐπιρροῆς τῆς Ἐκκλησίας φερόμεναι ἐνστάσεις, ἐπιρροῆς, ἣν ἐξήσκησεν καὶ ἐξασκεῖ ἔτι σήμερον ἐν τῷ κόσμῳ, θὰ μᾶς ἀπασχολήσωσι τὸ πρῶτον καὶ κατ' ἀρχάς. Συνεπῶς δὲν πρέπει νὰ βραδύνωμεν εἰς τὸν περὶ τοῦ σπουδαίου τούτου καὶ ἐνδιαφέροντος ζητήματος ἀναμένοντα ἡμᾶς ἀγῶνα.

Οἱ πολέμιοι τοῦ χριστιανισμοῦ φρονοῦσιν ὅτι ἡ δύναμις, δι' ἧς οὗτος ἀντέστη καὶ κατέκλυσε τὸν κόσμον, ἡ δύναμις τῆς πρακτικῆς αὐτοῦ ἐφαρμογῆς καὶ διαδόσεως εὑρηται ἐν τῇ Ἐκκλησίᾳ, διότι ἐν ταύτῃ ὁ χριστιανισμὸς κέκτηται τὴν ζῶσαν καὶ κοινωνικὴν αὐτῆς μορφὴν καὶ ὅτι ἄνευ αὐτῆς δὲν θὰ ἦτο ἢ καθαρά τις θεωρία καὶ ματαία διδασκαλία, κατάλληλος τὸ πολὺ νὰ καταπλήξῃ τὴν περιέργειαν τῶν φιλοσόφων. Ὅθεν οἱ ἀντίπαλοι ἡμῶν ὅλα αὐτῶν τὰ βέλη διευθύνουσι κατὰ τῆς Ἐκκλησίας, ἤτις τοὺς πιέζει διὰ τοῦ λόγου αὐτῆς, τοὺς περιορίζει διὰ τῶν διατάξεων αὐτῆς, τοὺς παροργίζει διὰ τῶν ἀγώνων αὐτῆς οὐ μόνον νικῶσα ἀλλὰ καὶ νικωμένη· ἡ παρουσία αὐτῆς καταστᾶσα πανταχοῦ ἐπαισθητὴ διὰ τοῦ ἱερατείου, διὰ τῆς λατρείας καὶ διὰ τῶν μνημείων αὐτῆς τοὺς ἀπελπίζει ὑπερβολικά. Ἐνόμιζον ὅτι ἐὰν θὰ κατα-

Συνέχεια ἀπὸ σελ. 421—427.

συνέτριβον αὐτὴν ἐν τῇ συστάσει αὐτῆς, θὰ κατώρθουν νὰ ἀπαλλαγῶσιν ὁλοκληρωτικῶς τοῦ χριστιανισμοῦ καὶ μετ' αὐτοῦ πάσης ἄλλης δυνατῆς ἐν τῷ κόσμῳ θρησκευτικότητος. Πράγματι· οἱ σπουδαιότεροι τῶν ἡμετέρων ἀντιπάλων, οἱ πλέον ἀδιάλλακτοι, ἀλλὰ καὶ εἰλικρινέστεροι ἀποδίδοντες τὸν ἐμπρέποντα σεβασμόν, εἰς τὰς βάσεις τῆς χριστιανικῆς πίστεως στεντορείως ὁμολογοῦσιν ὅτι ἄνευ τῆς Ἐκκλησίας χριστιανισμὸς δὲν ὑφίσταται, καὶ ὅτι ἐκτὸς τοῦ χριστιανισμοῦ οὐδεμία ἀξία λόγου θρησκεία δύναται νὰ ὑπάρξῃ.

Λοιπὸν ἐπὶ τῷ σκοπῷ τοῦ νὰ ἀπογυμνώσωσι τὴν Ἐκκλησίαν τῆς ἀφοσιώσεως, τῆς πίστεως καὶ τῆς πρὸς αὐτὴν ἀγάπης τῶν χριστιανῶν, οἱ ἐχθροὶ αὐτῆς ἐπιζητοῦσι νὰ τὴν παραστήσωσι παντοιοτρόπως ὡς πολέμιον τῆς κοινωνίας καὶ πάσης προόδου.

Καὶ μάλιστα ἐπὶ τῶν ἡμερῶν ἡμῶν κατὰ πολὺ χρησάμενοι τῷ ἐπιχειρήματι τούτῳ, ἔστρεψαν αὐτὸ καθ' ὅλας τὰς ἐπόψεις παριστῶντες αὐτὸ ὑπὸ χιλίους διαφόρους μορφὰς καὶ ζητοῦντες νὰ τὸ στηρίξωσιν ἐπὶ γεγονότων οὐ μόνον τῆς ἀρχαιότητος, ἀλλὰ καὶ τῆς συγχρόνου ἐποχῆς. Συζητήσωμεν λοιπὸν μετ' αὐτῶν ἐφ' ὅλων τούτων τῶν ἐπόψεων τοῦ ἀπασχολοῦντος ἡμᾶς ζητήματος.

Κατηγοροῦσι τὴν Ἐκκλησίαν κατ' ἀρχὰς ὡς οὖσαν πολέμιον τῶν φώτων καὶ ἐπιζητοῦσαν νὰ στηρίξῃ τὴν ἐξουσίαν αὐτῆς ἐπὶ τῆς ἀμαθείας, ἣν ἐγκαθίδρυσεν καὶ ἐπεστήριξεν ἐν τῇ κοινωνίᾳ. Τοῦτο ἀποτελεῖ τὴν αἰώνιον κραυγὴν τῶν ἀντιπάλων αὐτῆς καὶ καθ' ἑκάστην μετὰ νέας μανιώδους ὁρμῆς τὴν ἀναφέρουσι τιτλοφοροῦντες τὴν Ἐκκλησίαν δι' ὀνομάτων ὑβριστικῶν καὶ χυδαίων τοῦ φωτοσβέστου καὶ μισομαθοῦς. Ὅθεν ἐξετάσωμεν τὴν ἀξίαν τῆς ἐνστάσεως ταύτης, ἥτις ἀρκετὴν ἐντύπωσιν ἐμποιεῖ εἰς πάντα κατεχόμενον ὑπὸ τοῦ ἔρωτος τῆς ἐπιστήμης, ἣν θεωρεῖ ὡς πρωτίστην τῶν ἐπιγείων ἀγαθῶν.

«Ἡ Ἐκκλησία λέγουσιν εἶνε θυγάτηρ τῆς ἀμαθείας· οἱ ἀπόστολοι αὐτῆς καλοῦνται ἐν ταῖς Γραφαῖς μωροὶ καὶ ἀπαίδευτοι· ἐπὶ δὲ τῆς συστάσεως αὐτῆς, ἀπετελεῖτο ἐξ αἰχμαλώτων, τοῦ χύδην λαοῦ καὶ τῶν ἀμαθῶν ἀνθρώπων· αὐτὸς ὁ ἀπόστολος Παῦλος καυχᾶται περὶ τούτου ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ».

